Athenaeus XI p. 783 d: *καὶ τὸ ῥῆμα δὲ ἐξημύστισε, φασί, τὸ ἐφ᾽ ἓν πνεῦμα πιεῖν. ὡς ὁ κωμικὸς Πλάτων, Λύσας δὲ ἀργήν κτλ.* Eustathius ad Iliad. p. 1282 31: *καὶ ῥῆμα ἐκμυστίζειν τὸ ἐφ᾽ ἓν πνεῦμα πίνειν, οἷον Λύσας δὲ ἀργήν — κἀξεμύστισε. Πλάτωνος τοῦτο κωμικοῦ.* Vs. 1 Iacobsius *λύσας διαρκῆ στάμνον*. Aliud quid latet. — Vs. 2 Eustathius *κοῖλον πλάτος*. Antiphanes Aphrod. I 2 *κοιλοσώματον κύτος*. Alcman apud Athen. IX p. 416 c. *τρίποδος κύτος*. Euripides Cycl. 398 *λέβητος κύτος*. — Vs. 3 pro *κοὐ* vulgo *καί*. C et Eustathius *καὶ οὐ*. Vid. Valckenarius ad Callim. Eleg. p. 253. — Vs. 4 *ἐξημύστισε* Schweighaeuserus pro *ἐξεμύστισε*, quod fefellit Eustathium.

X.

Τὰ γραμματεῖα τούς τε χάρτας ἐκφέρων.

Pollux VII 210: *καὶ χάρτας δὲ τοὺς γεγραμμένους Πλάτων εἴρηκεν ὁ κωμικός Τὰ γραμματεῖα κτλ.* Ad *Πρέσβεις* propter eius fabulae fragmentum quartum revocabat Th. Bergkius Comment. p. 393.

XI.

Ἔπειτα δ' οὐδείς ἐστ' ἀνὴρ γαστρίστερος.

Pollux II 175: *Πλάτων δὲ ὁ κωμικὸς ἐπὶ τοῦ γαστριμάργου τοῦτο* (agit de verbo *γαστρίζειν*) *εἴληφεν Ἔπειτα δ' οὐδείς κτλ.* Probabiliter ad Pisandrum referas. V. Hist. crit. p. 179 sq.

XII.

Pollux IV 56: *Ἐπίχαρμος δὲ καὶ ποιητικὸν* (?) *μέλος αὐλεῖσθαί φησι, Πλάτων δὲ ὁ κωμικὸς καὶ συβωτικὸν Ὅτι δ' ἂν ἡ συβώτρια, μήδ' ἀγαθὴ γένοιτό μοι. ἔχει δὲ μόνον δακτύλους αὐλητικούς.* Nihil dum emendationis corruptissimo loco allatum est. Postrema fortasse sic scribenda,

ἔχει δὲ μόνον οὐ δακτύλους αὐλητικούς,

cll. Antiphane Veneris nat. I 15: *αὐλητικῶς δεῖ καρκινοῦν τοὺς δακτύλους.*

XIII.

Ἀνακογχυλιαστὸν ἰχθοδοπόν τι σκευάσω.

Pollux VI 25: *ὃ μέντοι ἀναγαργαρίσασθαι νῦν λέγουσιν, ἀνακογχυλίσασθαι ἔλεγον τὸ ἀνακλύσασθαι τὴν φάρυγγα. Πλάτων δὲ ὁ κωμικός Ἀνακογχυλιαστὸν κτλ.* Cod. A *ἀνακογχυλίαστον ἐκθοδοτόντι.*

XIV.

Καὶ περιὼν ἅμα
τιλτὸν τάριχος ἐπριάμην τοῖς οἰκέτας.

Pollux VI 49: *καὶ τιλτὸν δὲ τάριχος τὸ λεπιδωτὸν ἐκάλουν, ὡς Πλάτων ὁ κωμικός Καὶ περιὼν ἅμα κτλ.* Libri *περιϊών.* V. Porsonum et Dobraeum ad Aristoph. Vesp. 1020. Grammat. Cram. IV p. 309 21: *καὶ περιέναι τετρασυλλάβως.*

XV.

Φείδεσθε τοὐλαίου σφόδρ'· ἐξ ἀγορᾶς δ' ἐγὼ
ὠνήσομαι στιλβήν τιν', ἥτις μὴ πότις.

Pollux VI 103: *καὶ στίλβη ἦν τι ἀγγεῖον γήϊνον, ᾧ ἀντὶ λύχνου ἐχρῶντο, ὡς Πλάτων Φείδεσθε τοὐλαίου κτλ.* Iisdem propemodum verbis usus est Hermippus in Diis.

XVI.

Ἐμοῦ γαμοῦντος οὐδ' ὁ γείτων ᾔσθετο.

Plutarchus Vit. Phoc. XXX: *Δημέᾳ δὲ τῷ υἱῷ νύμφην ἀγόμενος, ἐμοῦ μέν, εἶπεν, ὦ παῖ, τὴν σὴν μητέρα γαμοῦντος οὐδ' ὁ γείτων ᾔσθετο.* Plato Alcib. I cap. 36: *ἡμῶν δὲ γενομένων, τὸ τοῦ κωμῳδοποιοῦ, οὐδ' οἱ γείτονες σφόδρα τι αἰσθάνονται,* ubi Olympiodorus p. 157 Cr. *Πλάτων γὰρ ὁ κωμικὸς τοῦτο παρατίθεται.* Plutarchi locum cum Platonico primus comparavit Muretus V. L. VIII 12.

XVII.

Σαπρῷ γάρῳ βάπτοντες ἀποπνίξουσί με.

Athenaeus II p. 67 c. *Γάρος: Κρατῖνος Ὁ τάλαρος ὑμῖν διάπλεως ἔσται γάρου. — Πλάτων Ἐν σαπρᾷ κτλ.* Delevit *ἐν* Schweighaeuserus. Fortasse scribendum *Πλάτων ἐν* * * * *Σαπρῷ* etc. ut fabulae nomen exciderit.

XVIII.

Ἆρ', ὡς ἔοικε, δὶς γένοιτ' ἂν παῖς γέρων.

Scholiasta Aristoph. Nub. 1421: *δὶς παῖδες οἱ γέροντες. — καὶ Πλάτων Ἆρ', ὡς ἔοικε κτλ.* Clemens Alex. Strom. VI p. 626 A. *ἀλλὰ καὶ ὁ φιλόσοφος Πλάτων, ἆρ', ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γένοιτ' ἄν.* Plato philosophus eo proverbio usus est Legg. III p. 687 d. Axiocho p. 367 b et Lys. p. 223 b. sed nullo horum locorum iis verbis quibus Clemens utitur, qui non dubium est quin Platonis comici locum ante oculos habuerit. Cfr Theopompi fragm inc. fab. VII.

XIX.

Οὐδεὶς ὁμαίμου συμπαθέστερος φίλος,
κἂν ᾖ τοῦ γένους μακράν.

Anonymus apud Cramerum Anecd. III p. 195: *Πλάτων δέ, οὐχ ὁ φιλόσοφος ἀλλ' ὁ κωμικώτατος* *), *ᾧ καὶ Κρατῖνον οἶδα συνᾴδοντα, ἀορίστως ἐπὶ συγγενείας λάβει* (sic) *τὴν ὅμαιμος λέξιν. καὶ ἀπεμνημόνευσα ἄν σοι τῶν ἰαμβείων ὅλων, εἰ μὴ ὁ χρόνος τὸ μέτρον καὶ τὴν λέξιν ἐξείλετό μου· ἀλλὰ τόν γε νοῦν τοῦ βιβλίου ἀκριβῶς ἀποτεταμίευκα· λέγει γάρ που κἀκεῖνος Οὐδεὶς ὁμαίμου συμπαθέστερος φίλος, κἂν ᾖ, φησί, τοῦ γένους μακράν.* Versu secundo *τοῦ* fortasse delendum.

XX.

Σὲ δὲ κοκκύζων ὄρθρι' ἀλέκτωρ προκαλεῖται.

Eustathius ad Odyss. p. 1479 47. de gallo *ὄρθρου* praenuncio disserens: *καὶ Πλάτων δὲ — ὁ κωμικὸς ἐν τῷ Σὲ δὲ κοκκύζων ἀλέκτωρ προκαλεῖται. Ὄρθρια* addendum esse vidit Lobeckius ad Phryn. p. 229.

XXI.

Ὡς ἔστι μοι τὸ πρᾶγμα τοῦτο περὶ πόδα.

Photius et Suidas s. v. *περὶ πόδα: οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσίν. Πλάτων Ὡς ἔστι μοι τὸ χρῆμα τοῦτο περὶ πόδα.* Vide supra p. 660.

XXII.

Σχοίνους λαβὼν ἄνειρε τὰ κρέα.

Etymol. M. p. 106 33. *ἀνείρειν: ἀναπείρειν. Πλάτων Σχοίνους κτλ.* Corrupte Zonaras Lex. p. 222.

XXIII.

Καὶ τὰς θύρας ἀνακῶς ἔχων.

Moeris Attic. p. 43. *ἀνακῶς: ἀττικῶς, ὡς Πλάτων ὁ κωμικός Καὶ τὰς θύρας ἀνακῶς ἔχων, ἀντὶ τοῦ ἀσφαλῶς ἢ φυλακτικῶς.* Grammaticus Marcianus apud Bekkerum ad

*) V. Hist. crit. p. 164.

Harpocr. p. 23: *ἀνακῶς ἀντὶ τοῦ ἀσφαλῶς παρὰ Πλάτωνι τῷ κωμικῷ Καὶ τὰς θύρας ἀνακῶς ἔχειν.* Piersonus *τῆς.* Fort. *τᾶς.* A Dorico enim haec homine dici non improbabile est. Erotianus p. 66. *ἀνακῶς: ἐπιμελῶς καὶ περιπεφυλαγμένως. ἔστι δὲ ἡ λέξις δωρική.* Sed utuntur eo etiam Attici. Cfr Pausanias apud Eustath. p. 1424 60.

XXIV.

Hesychius, *Ἀσελγής: ἀκόλαστος, ἀκάθαρτος. ἔστι δὲ ἀσελγὴς ὁ μέγας ἢ σφοδρός, ὡς Πλάτων ἀσελγόκερων τὸν μεγαλόκερων.* Idem, *Κριὸς ἀσελγόκερως: ἦν ἐν τῇ ἀκροπόλει κριὸς ἀνακείμενος μέγας χαλκοῦς. ἀσελγόκερων δὲ αὐτὸν εἶπε Πλάτων ὁ κωμικὸς καὶ συναριθμεῖ αὐτῷ τόν γε Δούριον ἵππον. τὸ γὰρ ἀσελγὲς — ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου. — ἄμεινον δὲ τὸν ἀσελγόκερων δέχεσθαι εἶναι τὸν κρείττονα* (corrigunt *κυρίττοντα*) *καὶ οἱονεὶ ἐξυβρίζοντα τοῖς κέρασιν.* Photius Lex. p. 179 1. *Κριὸν ἀσελγόκερων: τὸν Ἀθήνησι χαλκοῦν κυρίττοντα καὶ ὑβρίζοντα τοῖς κέρασιν.* Grammaticus Bekkeri p. 451 16: *ἀσελγόκερων κριὸν Πλάτων τὸν μεγαλόκερων, ἢ τὸν χαλεπὸν καὶ βίαιον τοῖς κέρασιν.* Prov. Bodlei. 555. *κριὸς ἀσελγόκερως: Πλάτων ὁ κωμικὸς τὸν μέγαν φησίν. τὸν γὰρ ἀσελγῆ οὐ μόνον ἐπὶ τοῦ ἀκολάστου ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου ἔταττον, ὡς ἄνεμον ἀσελγῆ* (Eupolis Fragm. inc. XXV). Cfr Suidas v. *κριὸς* et Diogenianus V 62. De *Durio equo* in acropoli Athenarum vide Pausaniam Att. I 23 et intpp. Hesychii s. v. *Δούριος ἵππος.*

XXV.

Hesychius, *Ἀλῆτις: ἑορτὴ Ἀθήνησιν, ἡ νῦν Ἑώρα λεγομένη. καὶ ἡμέρας ὄνομα, ὡς Πλάτων ὁ κωμικός.* Sopingius pro *ἡμέρας* fortasse recte *Ἠριγόνης.* De Erigone Aletide, cui annua sacra fiebant apud Athenienses, constat ex Hesychio v. *Αἰώρα* aliisque. Rem copiose tractasse videtur Eratosthenes in Erigone. *) Ipse tentabam olim *ἑταίρας.*

---

*) Fragmentis a Bernhardio collectis adde quae leguntur apud

XXVI.

Hesychius, *Ἀμφιμάσχαλος*: *χιτὼν χειριδωτὸς ἐλευθέρων, ὡς Πλάτων, δύο χειρίδας ἔχων, ἃς μασχάλας ἔτι καὶ νῦν λέγουσιν.*

XXVII a.

Hesychius, *Ἀρχωνίδας*: *δρῦς. Πλάτων.* Corrigunt *πλατάνους*, et *ἀρχωνίδας* ex *σαρωνίδας* corruptum existimant. Neutrum veri simile est.

XXVII b.

Hesychius, *Ποδοκάκη*: *ὁ ἐν τῷ ξύλῳ δεσμός, ἐν ᾧ οἱ κακοῦργοι δεσμεύονται, οἷον ποδοκατοχή. τὰ διὰ τῶν ποδῶν εἰλήματα.*

XXVIII.

Zenobius II 27: *Αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον*: *μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Γεωργοῖς καὶ Πλάτων ὁ κωμικός. ἦν δὲ οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν μισθουμένων.* Corrupta verba qui emendare volent, in subsidium vocare debebunt haec Grammatici Bekk. Anecd. p. 281: *Μελετῶν οἶκος, ἐν ᾧ οἱ τραγῳδοὶ ἐμελέτων.* Quae emendatius scripta videntur apud Photium p. 256 11. *Μελιτέων οἶκος: ἐν τῷ δήμῳ* (Melitensium) *παμμεγέθης ἦν οἶκος εἰς ὃν οἱ τραγῳδοὶ φοιτῶντες ἐμελέτων.* Dindorfius ad Aristoph. Fragm. p. 100 suspicabatur *αὐτομολητέον*, quo nihil proficitur.

XXIX.

Zenobius VI 7. *Τετράδι γέγονας*: *παροιμία. τὸν Ἡρακλέα γάρ φασι τετράδι γεννηθῆναι, καὶ ἔνδοξον ὄντα καὶ ἐπιφανέστατον ἄλλῳ ταλαιπωρεῖν. ἔστιν οὖν παροιμία ἐπὶ τῶν ἄλλοις πονούντων. μέμνηται ταύτης Πλάτων ὁ κωμικός.* Plato haec de semet ipso dixisse videtur eodem

---

schol. Dioscoridis p. 360: *ὡς καὶ ἐν Ἠριγόνῃ Ἐρατοσθένης ἐπὶ ἀμπέλου Μόσχους καὶ χλωρὰς κλήματος ἐκφυάδας.* Quae quo pertineant docet schol. Iliad. χ' 29.

sensu, quo se Arcadas imitari dixerat. V. Hist. crit. p. 162. De proverbio illo confer quae dixi ad Aristonymi Solem frig. VI.

XXX.

Scholiasta Aristophanis Acharn. 22: *ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον — σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. ὅσοι δὲ ἐχρίοντο ἐξέτινον ζημίαν.* Eadem Suidas s. v. *σχοινίον* et *μεμιλτωμένον σχοινίον*. Res nota ex Aristophane.

XXXI.

Scholiasta Aristoph. Av. 475: *θηλυκῶς δὲ εἴρηκε τὸν κορυδόν. Πλάτων δὲ ἀρσενικῶς.*

XXXII.

Scholiasta Aristoph. Ran. 305 et Suidas v. *Ἡγέλοχος: τοῦτον δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει.* Hegelochum histrionem dicit.

XXXIII.

Scholiasta Aristoph. Pac. 314: *καὶ Πλάτων δὲ ὁ κωμικὸς Κέρβερον αὐτὸν ὠνόμασεν.* Cleonem dicit.

XXXIV.

Scholiasta Aristoph. Plut. 177: *οὗτος* (Philepsius) *πένης ὢν λέγων ἱστορίας ἐτρέφετο. τερατώδης δὲ καὶ λάλος διαβάλλεται, ὡς ὁ Πλάτων ὁ κωμικός*

XXXV a.

Etymol. M. p. 257 12. *Δέρρις: Εὔπολις „γυνὴ μέλαιναν δέρριν ἠμφιεσμένη" ἐπὶ τοῦ ἱματίου. ἐπὶ δὲ τοῦ παραπετάσματος Πλάτων.*

XXXV b.

Etymol. M. p. 346 16: *παρὰ Πλάτωνι τῷ κωμικῷ ἔξπουν.* Philemo p. 51 ed. Os. *Ἀττικῶς μὲν ἔξπουν καὶ*

ἔξκλινον λέγεται, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ ἐξπηχυστί, καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ ἔξπουν. Cfr Lobeckius ad Phrynichum p. 414. cuius notatis adde Stephanum Byz. p. 345: Ἔξγυιος πόλις Σικελίας γραφὴν ἀττικὴν ἔχουσα ὡς τὸ ἐξκλινής (leg. ἔξκλινος).

XXXVI.

Etymol. M. p. 733 47: συκοφαντεῖν παρὰ Πλάτωνι καὶ Μενάνδρῳ οἷον κνίζειν ἐρωτικῶς. Vide ad Menandri fragm. p. 295.

XXXVII.

Etymol. Gud. p. 394 22: Μίνως, διὰ τοῦ ἰῶτα τινὲς γράφουσιν αὐτὸ διὰ τῆς ει διφθόγγου — ἡ δὲ παράδοσις διὰ τοῦ ι αὐτὸ γράφει· ἐπειδὴ εὕρηται καὶ παρὰ Πλάτωνι.

XXXVIII.

Lexicon ab Hermanno editum p. 349: Χρήζω τὸ χρείαν ἔχω συντάσσεται γενικῇ, χρήζω δὲ τὸ δανείζω δοτικῇ, ὡς παρὰ Πλάτωνι, χρῆσόν μοι τὴν χλαμύδα σου. Post χρῆσον addendum γε vel simile quid.

XXXIX.

Eustathius ad Odyss. p. 1761 38 ex Aristophane Byzantio: καὶ Πλάτων δέ, φησίν, ὁ κωμικός, ὁ πρόσωπος εἴρηκεν ἀντὶ τοῦ τὸ πρόσωπον, καὶ ἀντὶ τοῦ γάλακτος ἢ γάλατος τοῦ γάλα ἔκλινε δισυλλάβως. Nomen γάλα indeclinabile apud Hippocratem legerat, ut videtur, Erotianus Lex. Hipp. p. 116. γάλα καὶ λίπα τέγγειν: ἀντὶ τοῦ λιπαρῶς ἐμβρέχειν. Ceterum cfr Hist. crit. p. 173.

XL.

Plutarchus Vit. Anton. 80: Ὁ δὲ Τίμων ἦν Ἀθηναῖος, ὃς καὶ γέγονεν ἡλικίᾳ μάλιστα κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἐκ τῶν Ἀριστοφάνους καὶ Πλάτωνος δραμάτων λαβεῖν ἔστι· κωμῳδεῖται γὰρ ἐν ἐκείνοις ὡς δυσμενὴς καὶ μισάνθρωπος. De Timone dixi Hist. crit. p. 327 sq.

XLI.

Aristoteles Rhet. I 16: *οἷον Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος, ᾧ Πλάτων εἶπε πρὸς Ἀρχίβιον ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι.* **Dixi de his Hist. crit. p. 161. ubi quod Archibio Agyrrhii nomen substituendum esse suspicatus sum, nunc repudio. Si quid mutandum, malim utique** *Ἀρχῖνον*, **de quo vide supra p. 661.**

XLII.

Sextus Empiricus adv. Rhet. II p. 296 civitates dicit, in quibus nullus sit rhetoricis artibus locus, leges constanter servare: *παρὰ δὲ τοῖς προσιεμένοις αὐτὴν* **(rhetoricam)** *ὁσημέραι νεοχμοῦσθαι, ὥσπερ καὶ παρ᾽ Ἀθηναίοις, καθάπερ καὶ Πλάτων, ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής, λέγει· καὶ γὰρ τρεῖς ἐάν τις, φησίν, ἐκδημήσῃ μῆνας, οὐκέτι ἐπιγινώσκειν τὴν πόλιν, ἀλλὰ παραπλησίως τοῖς νυκτὸς περιπατοῦσι παρὰ τὰ τείχη καθάπερ τινὰς ἀγγάρους κατάγεσθαι, τὸ ὅσον ἐπὶ τοῖς νόμοις μὴ τῆς αὐτῆς οὔσης πόλεως.* **Haud improbabilis Fabricii coniectura est haec ad** *Ἑλλάδα ἢ Νήσους* **revocanda esse suspicantis.**

XLIII.

Athenaeus I p. 31 e: *Πολύζηλος αὐτίτην καλεῖ οἶνον, Πλάτων δὲ ὁ κωμικὸς καπνίαν. κάλλιστος δ᾽ οὗτος γίνεται ἐν Βενεβέντῳ.*

XLIV.

Athenaeus II p. 47 d: *Πλάτων Οὐ μονοσιτεῖν ἑκάστοτε, ἀλλὰ κἀνίοτε δειπνεῖν δὶς τῆς ἡμέρας.* **Versus ita fere restituere licebit:**

οὐκ ἔστι μονοσιτεῖν ἑκάστοτ᾽, ἀλλὰ δεῖ
*κἀνίοτε δειπνεῖν * * δὶς τῆς ἡμέρας,*

vel — *ἀλλὰ καὶ | ἐνίοτε δειπνεῖν δεῖ σε δὶς τῆς ἡμέρας.* **De verbo** *μονοσιτεῖν*, ***semel quotidie cibum capere*, Hippocratis exempla attulerunt Casaubonus et Foesius Oecon. Hipp. p. 417.**

XLV. XLVI.

Pollux II 9: ἀντίπαις, ὡς οἱ νέοι κωμικοί. καὶ παλλάκια εἴρηκε Πλάτων ὁ κωμικός. Eustathius ad Odyss. p. 1419 50: καὶ παλλάκια δὲ κατὰ Αἴλιον Διονύσιον, οὐ παλλήκια, οἱ παῖδες, ἔστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς. — Idem II 196: ὁ δὲ κωμικὸς Πλάτων καὶ ποδάρια εἴρηκε. καὶ ποδεῖα δὲ τοὺς περὶ τοῖς ποσὶ πίλους Κριτίας.

XLVII — XLIX.

Pollux III 70: καὶ παιδοφιλεῖσθαι Πλάτων εἴρηκεν ὁ κωμικός. — Idem III 154: ἄσκησις. Πλάτων δὲ καὶ ἄσκην εἴρηκε, φαῦλον ὄνομα. — Idem III 126: καὶ Πλάτων δὲ ὁ κωμικὸς λέγει παῦσαι δυσωνῶν. ὁ γὰρ δυσώνης οὐκ οἶδα μὲν εἰ παρά τινι, ἐν παροιμίᾳ δέ. Proverbium dicit pluribus commemoratum, οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας.

L.

Pollux IV 64: τὸ δὲ ᾆσμα καὶ ᾀσμάτιον Πλάτων εἴρηκεν ὁ κωμικὸς καὶ ᾆσμον. Recte H. Stephanus ᾀσμόν.

LI.

Pollux VI 75: ἀπὸ δὲ ναστῶν ὁ ναστοφάγος καὶ τὸ ναστοφαγεῖν, καὶ ὁ ναστοκόπος παρὰ Πλάτωνι τῷ κωμικῷ.

LII. LIII.

Pollux VII 30: ἔξαινε δὲ τῶν ἐρίων Ἀριστοφάνης ἔφη, καὶ καταξῆναι Πλάτων ὁ κωμικός. — Idem VII 31: ὁ δὲ κωμικὸς Πλάτων ἔφη ἀκλώστους στήμονας.

LIV. LV.

Pollux VII 94: Πλάτων δὲ ὁ κωμικὸς κοπραγωγοὺς γαστέρας, ᾧ καὶ ἐπ᾽ ἐκείνου χρηστέον. — Idem VII 134: ῥαΐδια δὲ ποικίλον καὶ πολυέλικτον ὑπόδημα· μνημονεύει δ᾽ αὐτοῦ Πλάτων τε καὶ Φερεκράτης. V. supra p. 356.

LVI.

Pollux X 175: εἶεν δ᾽ ἂν καὶ ἀμφωτίδες ἐκ τῶν σκευῶν, Πλάτωνός τε εἰπόντος καὶ ἐν Κερκύονι Αἰσχύλου „ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας."

LVII.

Phrynichus Appar. Soph. p. 63 26. *Στρόβιλος: Πλάτων καὶ μεταφορικῶς κέχρηται ἐπὶ ᾠδῆς κιθαρῳδικῆς πολὺν ἐχούσης τὸν τάραχον.* V. Pherecratis Chiron. I 14.

LVIII.

Phrynichus Appar. Soph. p. 73 25. *Ψυχορροφεῖν: ἐπὶ τοῦ τὴν ψυχὴν ἐκροφεῖν διὰ κακῶν παρουσίαν ἡ τραγῳδία, ὁ δὲ Πλάτων ἰδίως ἐπὶ οἴνου διὰ ψυχροῦ (διαψύχρου?) πινομένου τίθησιν.* Pro *οἴνου* legitur *ὄνου*. Correxit Schneiderus in lexico.

LIX.

Grammaticus Bekkeri Anecd. p. 346 1. *Ἀδώνιος: Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀριστοφάνης καὶ ἕτεροι. Λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.* Attigi haec supra p. 188. De nominativo *Ἀδώνιος*, cui tuendo nec Plautinus *Adoneus* sufficit, etiamnum dubito. Apud Pherecratem *Ἀδώνιος* fuisse videtur genitivus pro *Ἀδώνιδος*. Nec minus dubito de accusativo *Ἀδώνιον*. Scribendum videtur *τὴν αἰτιατικὴν τὸν Ἄδωνιν.* Fortasse obversabatur grammatico Pherecratis Fragm. inc. fab. LXXXIV. Aristophanis locus, quem respexit, est Lys. 394 397. Haec si vera sunt, etiam Cratini et Platonis citationes ad accusativum *Ἄδωνιν* spectare consentaneum est. In postremis verbis pro *Ἄδωνιν* fortasse *Ἄδωνα* scribendum, de qua forma dixi ad Theocr. XV 149.

LX.

Grammaticus Bekkeri Anecd. p. 460 25. *Αἰκῶς: χαλεπῶς δισυλλάβως. ἀπὸ τῆς αἰκίας. οὕτως Πλάτων.* Habet etiam Sophocles Elect. 102. ubi v. Hermannum.

LXI.

Grammaticus Bekkeri Anecd. p. 368 33. *Ἄκοος: ἀντὶ τοῦ ἀκουστικῶς Πλάτων.* Rectius *ἀκοὸς* et *ἀκουστικός*. Etymol. M. p. 51 23. *Ἀκουός: Καλλίμαχος „ἀλλ' ἐπα-*

κουοὺς οὐκ ἔσχεν" ἐπακούοντας. καὶ ἀκοόν ἐπήκοον καὶ ἀκουστικόν. Composito *συνάκοος* utitur Themist. 83 p. 442 Dind. Nisi ibi pro *συνακόους* legendum *συνθάκους*.

LXII.

Grammaticus Bekkeri Anecd. p. 373 21. *Ἀκύκλιος: ὁ ἀπαίδευτος παρὰ Πλάτωνι* Cfr Hist. crit. p. 191 7.

LXIII.

Grammaticus Bekkeri Anecd. p. 378 32: *Πλάτων δὲ ἀλλοκοτώτατον καὶ ἀλλοκοτώτερον εἶπε, καὶ Φερεκράτης ἀλλοκότως.*

LXIV.

Grammaticus Bekkeri Anecd. p. 460 28: *Ἀνεγκλητὶ Πλάτων εἶπε καὶ Ἰσοκράτης.* Nisi philosophus intelligendus est.

LXV. LXVI.

Grammaticus Bekkeri Anecd. p. 427 31 et Zonaras p. 263. *Ἀποθρέξεις: συναποτροχάσεις. οὕτω Πλάτων.* Idem p. 470 10. *Ἀφεῦσαν: ἀφῆκαν. Πλάτων καὶ Ἕρμιππος.* Lege *ἀφεῖσαν.*

LXVII.

Photius Lex. p. 482 3. *Ῥακετρίζειν: τὸ εἰς τὴν ῥάχιν παίειν οὕτως Πλάτων.* Scribendum *ῥαχετρίζειν.*

LXVIII.

Photius Lex. p. 563 22. *Σωμάτια: τὰ ἀναπλάσματα, οἷς οἱ ὑποκριταὶ διασάττουσιν αὑτούς. οὕτως Πλάτων.*

LXIX.

Etymol. M. p. 475 35: *Ἰκτῖνα, σημαίνει τὴν λεγομένην λούπην. Πλάτων δὲ προπαροξυτόνως λέγει, ὡς παρὰ Ἀριστοφάνει Ἴκτινα παντόφθαλμον ἅρπαγα στρέφει.* V. Lobeckium Paralip. gramm. p. 170.

LXX.

Zonaras Lex. p. 609. *Ἐγλιξάμην: ἐπεθύμησα. οὕτω Πλάτων.* Quod idem habet p. 944. *Ἑψανόν: ἁπαλόν.*

καὶ ἀτέραμνον τὸ δυσέψανον. οὕτως Πλάτων. Ad philosophum pertinere videtur. V. Ruhnkenius ad Tim. 150.

LXXI.

Zonaras Lex. p. 1334. *Μανόν: ἀραιόν. βραχέως λέγουσι. Τηλεκλείδης ἀντὶ τοῦ ἀκριβές. — Πλάτων Καὶ ταῦτα μανάκις τῆς ἡμέρας. ἀντὶ τοῦ μυριάκις.* Pro *μυριάκις* legendum videtur *πανράκις.* Hesychius, *Μανάκις: ὀλιγάκις, σπανίως.* Inter *ταῦτα* et *μανάκις* aliquid excidit, v. c. *μέντοι.* De mensura vocis *μανός* dictum est supra ad Teleclidis fab. inc. 379.

His duo subiungam fragmenta, quae non recte Platoni videntur tribui. Scholiasta Hermogenis apud Walzium Rhet. vol. V p. 441: *Πλάτων τε γάρ φησι*

Τῶν γὰρ πόνων πωλοῦσιν ἡμῖν οἱ θεοὶ
τἀγαθά,

καὶ Σοφοκλῆς Πόνος γὰρ ὡς λέγουσιν εὐκλείας πατήρ. Qui ut de Sophoclis versu errare videtur — Euripidi enim tribuitur a Stobaeo — ita ne prior quidem versus Platonis esse videtur. Xenophon quidem Epicharmo tribuit nobilissimum hunc versum:

Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί,

Memorab. II 1 20, ubi consulenda doctissima annotatio Ruhnkenii. Alterum quod dicebam fragmentum legitur apud Etymol. M. p. 389 38: *Δία γὰρ καὶ τὸν ἀέρα φησὶ Πλάτων ὁ κωμικός*

Ἀὴρ ὃν ἄν τις ὀνομάσειε καὶ Δία.

Atqui Philemonis hunc versum esse docui Fragm. p. 392, nisi forte Philemonem eum a Platone mutuatum esse dicas. De aliis quibusdam versibus Platoni comico ab impostore suppositis dixi Hist. crit. p. 196. Quem Grotius Excerptis p. 486 tanquam Platonis affert versum, *ἡ δ' ἡδονὴ πάντων ἀλαζονέστατον*, eius sedem indagare mihi non licuit. Denique, ut nihil quod ad Platonem pertineat omittam, epi-

gramma adscribam ex Anthol. Pal. II p. 122, cuius haec ex in codice epigraphe: *Ποσειδίππου. οἱ δὲ Πλάτωνος κωμικοῦ.* Est autem hoc:

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μέν
νείκεα καὶ χαλεπαὶ πρήξιες, ἐν δὲ δόμοις
φροντίδες, ἐν δ' ἀγροῖς καμάτων ἅλις, ἐν δὲ θαλάσσῃ
τάρβος, ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος,
ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον, οὐκ ἀμέριμνος
ἔσσεαι· οὐ γαμέεις, ζῇς ἔτ' ἐρημότερος.
τέκνα πόνοι· πήρωσις ἄπαις βίος· αἱ νεότητες
ἄφρονες, αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.[1]
ἦν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

ARISTONYMUS.

(Hist. crit. p. 107 sqq.)

ΘΗΣΕΥΣ.

Athenaeus III p. 87 a: *ἀρσενικῶς δὲ (κόγχος) Αἰσχύλος ἐν Ποντίῳ Γλαύκῳ „κόγχοι μύες κὤστρεια."* *Ἀριστώνυμος Θησεῖ Κόγχος ἦν βαπτῶν ἁλῶν.* **Vulgo** *ἄλλων* **legitur pro** *ἁλῶν.* **Correxit Porsonus. At** ***tinctum sal*** **quid sit nescio. Suspiceris** *λεπτῶν.* **Aristophanes fragm. 205** *εἰς ὄξος ἐμβαπτόμενος ἢ λεπτοὺς ἅλας.* **Archestratus Athenaei VII p. 321 d.** *ἁλσὶ μόνον λεπτοῖσι πάσας.*

ΗΛΙΟΣ ΡΙΓΩΝ.

I.

Ὅ γέ τοι Σικελὸς ταῖς βεμβραφύαις προσέοικεν ὁ καρκινοβήτης.

Athenaeus VII p. 287 c: *γίνεται δέ, φησίν, ἐκ μόνης τῆς βεμβράδος σκευασία τις ἡ προσαγορευομένη βεμβραφύαι, ὧν μνημονεύει Ἀριστώνυμος ἐν Ἡλίῳ ῥιγῶντι Ὅ γέ τοι Σικελός κτλ.* **Etymol. M. p. 195 29:** *Βεμβρὰς εἶδος ἰχθύος εὐτελοῦς. — γίνεται δὲ ἐξ αὐτῆς σκευασία τις ἡ προσαγορευομένη μεμβραφύαι. Ἀριστώνυμος Ταῖς μεμβραφύαις προσέοικεν ὁ καρκινοβαίτης.* **Athenaeus** *καρκινοβά-*

της. Correxi *καρκινοβήτης* ad Menandr. p. 183. Pro *μεμβραφύαις* propter sequens fragmentum scripsi *βεμβραφύαις*, etiam a Dindorfio commendatum.

II.

Ὥστ᾽ οὔτ᾽ ἀφύη νῦν ἐστι σαφῶς οὔτ᾽ αὖ βεμβρὰς κακοδαίμων.

Athenaeus VII p. 287 d: *Ἀττικοὶ δ᾽ ὅμως βεμβράδας λέγουσιν. — Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι Οὔτ᾽ ἀφύη νῦν ἔστιν ἔτι σαφῶς οὔτ᾽ αὖ βεμβρὰς κακοδαίμων*, ubi pro *ἔστιν ἔτι* B habet *ἐστὶ ἔτι*. In C *ἔτι* omittitur. Idem VII p. 284 e: *καὶ ἑνικῶς δὲ ἀφύην λέγουσιν. Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι Ὥστ᾽ οὔτ᾽ ἀφύην νῦν ἔσθ᾽ ἁπλῶς.* Etymol. M. p. 195 32: *καὶ αὖθις* (sc. Aristonymus dicit), *Οὔτ᾽ ἀφύη νῦν ἐστι σαφῶς οὔτ᾽ αὖ βεμβρὰς κακόδαιμον* (sic). His inter se comparatis sua sponte emergit vera versus scriptura: *itaque infelix iste manifesto nec apua est nec bembras.* Dindorfius scripsit *νῦν ἐστ᾽ ἔθ᾽ ἁπλῶς.* Ceterum valde probabilis est coniectura Th. Bergkii Comment. p. 316 hunc versum cum primo fragmento arcte esse coniungendum.

III.

Antiatticista p. 81 26. *ἀπόδειξιν δοῦναι: ἀντὶ τοῦ ἀποδείξασθαι. Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι.*

IV. V.

Antiatticista p. 83 24. *ἀρνακίς: Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι.* — Idem p. 113 24. *σιωπηλός: Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι.*

VI.

Scholiasta Platonis Bekk. p. 331: *Ἀριστώνυμος ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν* (Aristophanem) *γεγονέναι, διὸ τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ*

ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῆ φασι γεννηθῆναι. Vita Aristophanis p. 542: εὐλαβὴς δὲ σφόδρα γενόμενος (Aristophanes) τὴν ἀρχήν, ἄλλως δὲ καὶ εὐφυής, τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι αὐτὸν λέγοντες γενέσθαι, ὡς ἄλλοις πονοῦντα. De proverbio illo dixi ad Menandri fragm. p. 110.

EX INCERTIS FABULIS.

I.

Hesychius, *Βορροῦ*: τοῦ Βορέου ἡ γενικὴ παρ' Ἀριστωνύμῳ. Ita enim codicis scripturam (ἦγε παρὰ ἀριστονυ) correxit Bastius ad Gregor. Cor. p. 38.

II.

Hesychius, *Ψώσματα*: παρὰ Ἀριστωνύμῳ πέπαικται ἡ λέξις τῇ Βοιωτῶν διαλέκτῳ. Haec quo spectent fateor me frustra quaesivisse.

A M I P S I A S.

(Hist. crit. p. 199.)

ΑΠΟΚΟΤΤΑΒΙΖΟΝΤΕΣ. *)

I.

Ἐγὼ δ' ἰὼν πειράσομαι
εἰς τὴν ἀγορὰν ἔργον λαβεῖν. B. ἧττον γὰρ οὖν
νῆστις καθάπερ κεστρεὺς ἀκολουθήσεις ἐμοί.

Athenaeus VII p. 307 e: ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις — φησὶν — Ἀμειψίας Ἀποκοτταβίζουσιν Ἐγὼ δ' ἰὼν κτλ. Vs. 1 ἰὼν Abreschius; libri ἰδών. — Vs. 2 ἔργον λαβεῖν. Photius Lex. p. 12 20 fortasse hunc ipsum locum respiciens, Ἔργον: ὁ μισθός. καὶ λαβεῖν ἔργον τὸ μισθῶσαι ἑαυτόν. Ibidem Hist. crit. p. 201 scripsi γὰρ οὖν **) pro edito γ' ἂν οὖν, quod propter ἀκολουθήσεις ferri non potest. De particulis γὰρ οὖν vid. Hermannus ad Viger. p. 449 et Elmsleius ad Euripidis Med. 804 9. Easdem coniungit Herodotus I 48 et Xenophanes apud Athenaeum XI p. 462 d.

II.

Ἡ Μανία, φέρ' ὀξύβαφα καὶ κανθάρους
καὶ τὸν ποδανιπτῆρ' ἐγχέασα θὔδατος.

Athenaeus XV p. 667 f: αὕτη δ' (ἡ λακάνη) ὕδατος πληροῦται, ἐπινεῖ τε ἐπ' αὐτῆς ὀξύβαφα κενά, ἐφ' ἃ βάλ-

*) V. Hist. crit. p. 200.

**) Idem nunc video apud Dobraeum Advers. II p. 316.

λοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν — *Ἀμειψίας Ἀποκοτταβίζουσιν Ἡ Μανία κτλ.* Similiter illam *λεκάνην* describit scholiasta Aristophanis Pac. 1243: *ἀγγεῖόν τι ἐοικὸς λουτῆρι πλῆρες ὕδατος, ἐν ᾧ ὀξυβάφων ἦν ἐπιπλεόντων πλῆθος, ἅπερ καταδύειν ταῖς λάταξιν ἐπειρῶντο.* Versum primum affert Athenaeus etiam XI p. 473 d: *Κάνθαρος. ὅτι μὲν πλοίου ὄνομα κοινόν, ὅτι δὲ καὶ ποτήριόν τι οὕτω καλεῖται Ἀμειψίας ἐν Ἀποκοτταβίζουσί φησιν Ἡ Μανία κτλ.* De lectione huius versus v. Quaest. scen. II p. 42 sive Hist. crit. p. 200. — Vs. 2 deteriores libri *ποδονιπτῆρα*, qua forma seriores usi sunt. Vide Lobeckium ad Phryn. p. 689. Ibidem *θὔδατος* Dindorfius pro *θ' ὕδατος.* Minus recte hoc Elmsleius ad Euripidis Med. 801 scribit *θοὔδατος.*

III.

Ἐγὼ δὲ πᾶσίν εἰμι πέντε καὶ δύο.

Athenaeus X p. 426 f: *οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος — Ἀμειψίας ἐν Ἀποκοτταβίζουσιν Ἐγὼ δὲ [Διόνυσος] πᾶσιν [ὑμῖν] εἰμὶ πέντε καὶ δύο.* Verba uncinis inclusa ab Athenaeo interpretandi caussa adiecta esse recte statuit Schweighaeuserus. Ceterum qui haec loquitur apertum est non hominem esse Dionysum, sed ipsum Bacchum, quod moneo propter Fritzschium Quaest. Aristoph. I p. 236.

IV.

Δυοῖν ὀβολοῖν ἔγχουσα καὶ ψιμύθιον.

Etymol. M. p. 313 30: *καὶ διὰ τοῦ ᾱ λέγεται ἄγχουσα, Ἀττικοὶ δὲ διὰ τοῦ ε̄. Ἀμειψίας Δυοῖν κτλ.* Legebatur *ἔγχουσαν καὶ ψιμμύθιον.* Coniunxerunt haec etiam alii. V. Casaubonum ad Dionem Chrys. vol. II p. 459 ed. Rsk.

V.

Antiatticista p. 103 3. *Κλιβανίτης ἄρτος: Ἀμειψίας Ἀποκοτταβίζουσιν.* Scilicet *κριβανίτην φασὶν Ἀττι-*

κοὶ διὰ τοῦ ῥ, ut est in Lexico ab Hermanno edito p. 326. Alterum illud doricum esse ferebatur v. Etymol. M. p. 538, 19 et Lobeckius ad Phryn. 179.

Κ Α Τ Ε Σ Θ Ί Ω Ν.

Athenaeus VII p. 306 b: Ἀττικοὶ πουλύπουν λέγουσιν — Ἀμειψίας Κατεσθίοντι Δεῖ μὲν ὡς ἔοικε πολλῶν πουλύπων. Suspectum fabulae nomen est. Fortasse scribendum:

Κατεσθίοντι δεῖ μέν, ὡς
ἔοικε, πολλῶν πουλύπων.

Locus ex systemate dimetro desumptus videtur, de quo admonui Quaest. scen. II p. 43. Minus recte digessi Hist. crit. p. 201.

Κ Ο Ν Ν Ο Σ. *)

I.

Σώκρατες ἀνδρῶν βέλτιστ᾽ ὀλίγων, πολλῶν δὲ ματαιόταθ᾽, ἥκεις
καὶ σὺ πρὸς ἡμᾶς καρτερικός τ᾽ εἶ; πόθεν ἄν σοι χλαῖνα γένοιτο;
Β. τουτὶ τὸ κακὸν τῶν σκυτοτόμων κατ᾽ ἐπήρειαν γεγένηται.
οὗτος μέντοι πεινῶν οὕτως οὐπώποτ᾽ ἔτλη κολακεῦσαι.

Diogenes Laert. II 28: τοῦτο δ᾽ ἐνέσται καὶ παρὰ τῶν κωμῳδοποιῶν λαβεῖν, οἳ λανθάνουσιν ἑαυτοὺς δι᾽ ὧν σκώ-

*) V. Hist. crit. p. 201 sq.

πτουσιν ἐπαινοῦντες αὐτόν, Ἀριστοφάνης μὲν οὕτως — Ἀμειψίας δ' ἐν τρίβωνι παράγων *) αὐτόν φησιν οὕτως Σώκρατες ἀνδρῶν κτλ. Phrontistae, ex quibus fabulae chorus compositus fuit (Hist. crit. p. 203), Socratem salutant in scenam prodeuntem. Vs. 1 ὀλίγῳ et πολλῷ Elmsleius ad Arist. Acharn. 270. quod sequutus sum olim Quaest. sc. II p. 44. Improbat Hermannus Praef. Aristoph. Nub. p. XXVII. Neque ego nunc probo, quamquam vulgatae lectionis quod acumen sit nec ipse perspicio, nec perspexit Fritzschius Quaest. Aristoph. I p. 251 ita locum interpretatus: „Socrates paucorum virorum (nempe, investigatorum) optime, multorum autem homo vanissime." Post secundum versum excidisse aliquid in quo Socratis ἀνυποδησία commemorabatur, praeeunte Ferrario vere, opinor, statuit Hermannus, frustra, ut mihi quidem videtur, repugnante Fritzschio. Idem Hermannus duos versus posteriores ab alia persona dici monuit. Quarto versui cur item alius personae notam praefigeret Fritzschius nihil caussae erat. Ceterum postrema οὗτος — κολακεῦσαι non Amipsiae sed Diogenis esse putabat Brunckius ad Aristoph. Ran. 13. quem ipsa Diogenis verba redarguunt. Verum viderat iam Menagius. Pro πεινῶν cod. Monac. πινῶν.

II.

Ὥστε ποιοῦντες
χρησμοὺς αὐτοὶ διδόασ' ᾄδειν
Διοπείθει τῷ παραμαινομένῳ.

Scholiasta Aristoph. Av. 989: Σύμμαχος δὲ καὶ μανιώδη φησὶ τὸν Διοπείθη τὸν ῥήτορα, ὡς καὶ Τηλεκλείδης ἐν Ἀμφικτύοσι δῆλον ποιεῖ — καὶ Ἀμειψίας Κόννῳ Ὥστε ποιοῦντες κτλ. Vs. 2 vulgo αὐτοῖς δίδοσθαι δεῖν. Schneiderus Comment. de scholiis Aristoph. p. 65 αὐτοί φασι δεδόσθαι. Alia tentat Fritzschius Quaest. Aristoph. I p. 252.

*) Calami lapsu Hist. crit. p. 203 scripsi παρεισάγων. Recte libri omnes παράγων, de quo dixi l. l. p. 536.

Ipse sequutus sum Dobraeum. De Diopithe fanatico *χρησμολόγῳ*, quales multi illo tempore Athenis, v. Lobeckium Aglaoph. p. 980 et G. Droysenium Comment. de Avibus Aristoph. p. 22 18.

III.

Δίδοται μάλισθ' ἱερώσυνα,
κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ' ἀριστερά.

Athenaeus IX p. 368 d: *κωλῆνα λέγουσι καὶ κωλῆν* — *'Αμειψίας Κόννῳ Δίδοται κτλ.* Herodianus de dict. solit. p. 6 25: *κωλῆ. 'Αμειψίας Κόννῳ ἐντεῦθεν ὅσαι μάλιστα ἱερωσανακωλῦτο πλευρὸν ἢ μικρᾶς ἀριστερᾶς.* Ita codex, unde scribendum videtur cum Fritzschio Quaest. Aristoph. I p. 253 *ἐντευθενὶ δίδοται μάλισθ' ἱερώσυνα.* De *ἱερωσύνοις* affert Schweighaeuserus Hesychium, *'Ιερώσυνα: τὰ εἰωθότα δίδοσθαι ἐξαίρετα τοῖς ἱερεῦσιν.* Male haec olim interpretatus sum.

IV.

'Ορφοῖσι σελαχίοις τε καὶ φάγροις βορά.

Athenaeus VII p. 327 d: *μνημονεύει δὲ αὐτῶν (φάγρων)* — *'Αμειψίας ἐν Κόννῳ 'Ορφοῖσι κτλ.* Versum adscripsi quemadmodum ex Arnaldi Anim. crit. p. 171 coniectura exhibuit post Schweighaeuserum Dindorfius. Pro *ὀρφοῖσι* libri *ὀρφοῖς*, pro *βορὰ* A scriptum habet *ασι βορα*, B *ἀσιβορα*, P *ἀσΐβορα*, VL *ἔσῃ βορά.* Fritzschius Quaest. Aristoph. I p. 254 scribebat *ὀρφοῖς σελαχίοις καὶ φάγροις ἔσῃ (ἔσει) βορά.* Maiore molimine Th. Bergkius Comment. p. 418 tentabat,

'Ορφῷσι σελαχίοις τε καὶ
φάγροισι κῄόσιν βορά.

'Ορφῷσι quo minus scribatur nihil impedio; sed illud *ασι*, quod codices habent, ex praecedenti *οισ* natum videtur. Platonis versum in Cleoph. fragm. I. *σὲ γὰρ γραῦ συγκατῴκισεν σαπρὰν | ὀρφοῖσι σελαχίοις τε καὶ φάγροις βοράν*, ex Amipsiae versu expressum, comparavit iam Schweighaeuserus.

V.

Athenaeus V p. 218 c: Ἀμειψίας δ' ἐν Κόννῳ — οὐ καταριθμεῖ αὐτὸν (Protagoram) ἐν τῷ τῶν φροντιστῶν χορῷ. Cfr Hist. crit. p. 203.

VI.

Pollux X 171: ἐν δὲ τοῖς δημιοπράτοις κλιμάκιον, ἐν δὲ Ἀμειψίου Κόννῳ κλιμακίδια. Ita Salmasius. Vulgo κλιμακίδα.

ΜΟΙΧΟΙ. *)

I.

*Καὶ σὺ μὲν * * * ἦλθες καββαλὼν τριώβολον,*
καί τί που κἀμαρτύρησας ψεῦδος, ὥστ' ἀνεψύχης.

Suidas, Ἀναψυχῆναι: τὸ ἀναψῦξαι λέγουσιν. Ἀμειψίας Μοιχοῖς Καὶ σὺ μὲν ἦλθες κἄβαλες (A κάββαλες) τριώβολον, καί τί που κατεμαρτύρησας ψεῦδος, ὥστ' ἀνεψύχεις. Idem: Καββαλὼν ὁ καταβαλών. Ἀμειψίας Μοιχοῖς Καὶ σὺ μὲν ἦλθες κάββαλες (A καββαλὼν) τριώβολον. Versu primo indicavi lacunam. Possis καὶ σὺ μὴν ἀθῷος ἦλθες, ut ἦλθες sit *evasisti*. Ita Soph. Oed. Tyr. 1527 πάτρος γ' ἂν φονεὺς ἦλθον. Hermannus apud Bernhardium,

— υ — καὶ σὺ μὲν ἂν ἦλθες καββαλὼν τριώβολον.

Versum secundum exhibui ex emendatione Hermanni. Loqui videtur poeta de adultero.

II.

Grammaticus Bekkeri Anecd. p. 400 1. Ἀνέῳγον: καὶ Ἀμειψίας Μοιχοῖς καὶ οἱ νεώτεροι πολλαχοῦ. Suidas, Ἀνεῴγεισαν: ἠνοίχθησαν. καὶ ἀνέῳγεν οὐχὶ ἤνοιγεν. καὶ ἀνεῴγετο. λέγει καὶ Ἀμειψίας καὶ οἱ νεώτεροι πολλαχοῦ.

---

*) V. Hist. crit. p. 204.

III.

Pollux VII 100: Ἀμειψίου ἐν Μοιχοῖς μιλτωρυχίαν εἰπόντος. Photius Lex. p. 270 18: μιλτωρυχία, τόπος ἐν ᾧ μίλτος ὀρύσσεται. Ἀμειψίας. Cfr Eustathius ad Iliad. p. 310 34.

Σ Α Π Φ Ω.

Pollux IX 138: καὶ νωθὴς καὶ νωθρός· ἔστι γὰρ καὶ τοῦτο παρὰ Πλάτωνι ἐν τῷ Φαίδρῳ — ἐν δὲ τῇ Ἀμειψίου Σαπφοῖ καὶ νωθρότερον εὑρήκαμεν.

Σ Φ Ε Ν Δ Ο Ν Η. *)

I.

Κοὐδείς σοὐστὶν τῶν πλουτούντων, μὰ τὸν Ἥφαιστον, προσομοίως
καλλιτράπεζος καὶ βουλόμενος λιπαρὸν ψωμὸν καταπίνειν.

Athenaeus VI p. 270 f: κατὰ Ἀμειψίαν, ὃς ἐν Σφενδόνῃ ἔφη περὶ σοῦ μαντευσάμενος, ὦ Λαρήνσιε, Κοὐδείς σοὐστὶν κτλ. Vs. 1 σοὐστὶν Dindorfius, σοῦ 'στι AC, σοῦ τίς BP, σοί τις VL. Ibidem pro πλουτούντων, quod ex AC receptum, PVL habent πλουσίων. προσομοίως scripsi pro librorum lectione προσόμοιος praeeunte Th. Bergkio Comment. p. 421. — Vs. 2 ψωμὸν ABC. ζωμὸν PVL. Praefert hoc propter καταπίνειν Bergkius. Sed καταπίνειν *devorandi* sensu satis frequens est: ἐγκέφαλον καταπίνειν dixit Plato Ἑορτῶν fragm. IX.

*) V. Hist. crit. p. 204.

II.

Λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον.

Athenaeus X p. 446 d. de imperativo *πῖθι* disserens: *Ἀμειψίας Σφενδόνῃ Λαγὸν ταράξας κτλ.* et IX p. 400 c. *τὸ μὲν Ἰακὸν λαγός,*

λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον.

τὸ δὲ λαγὼς ἀττικόν. Idque ipsum exhibet scholiasta Aristoph. Vesp. 1480: *τὸ μὲν πῖθι ἐπὶ φαρμάκου λέγουσι. καὶ Λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον. τὸ δὲ πίε ἐπὶ τοῦ πότου.* Retinui tamen *λαγὸν* propter expressum Athenaei testimonium; ac videtur Amipsias haec verba Ionicum hominem dicentem fecisse. De leporis marini vi venefica constat quum aliunde tum ex Nicandri Alexiph. 465. Plut. terr. et aquat. p. 983 f et Philostr. V. Apoll. VI 32 p. 271. Cfr Schweigh. ad h. l. qui Amipsiae versum in hanc sententiam interpretatur, ut quod quis intriverit, id ipse exedere iubeatur. Fortasse recte, quamquam nihil impedit quominus proprio sensu verba capiantur. *ταράσσειν φάρμακον* de *miscendo medicamine* habes apud Nicandrum Ther. 665: *τῆς ἀπὸ φάρσος δραχμαῖον ποταμοῖο πιεῖν ὑδάτεσσι ταράξας.* Ibidem 936: *ἦμος ὅτε θρόνα πάντα μιῇ ὑπὸ χειρὶ ταράξῃς.* Erasistratus Athenaei VII p. 324 a. *αἵματος τεταραγμένου μέλιτι.* Cfr Fritzschii dissert. de Aristophanis Daetal. p. 104.

III.

Τὸ μὲν δόρυ
μετὰ τῆς ἐπιχάλκου πρὸς Πλαταιαῖς ἀπέβαλεν.

Pollux X 144. de armis militaribus agens: *Ἀμειψίας δ᾽ ἐν Σφενδόνῃ Τὸ μὲν δόρυ κτλ.* In his *μετὰ* ex codd. restitutum est; vulgo *πρό*, alius liber *πρός*. *Ἐπίχαλκον* viri docti recte de scuto intelligunt ductu Hesychii: *Ἐπίχαλκος, ἀσπίς· ἔχει γὰρ χαλκῆν τὴν ἐπιβολήν.* Quamquam dubitari potest an non coniungi debeant verba *ἐπίχαλκος ἀσπίς*, quemadmodum Aristophanes loquutus est loco iam

ab aliis allato Vesp. 17: *ἀναρπάσασα τοῖς ὄνυξιν ἀσπίδα φέρειν ἐπίχαλκον ἀνεκὰς εἰς τὸν οὐρανόν.* Idemque in nostro loco requirebat Toupius Emend. vol. IV p. 239, coniiciens ille, *πρὸς Πλαταιεῖς ἀσπίδος | ἀπέβαλε.* Pro *Πλαταιαῖς*, quod ex codice Seberi recepimus, olim legebatur *πλατεῖς.* Codex Voss. *Πλαταίευς*, idem a m. s. *Πλαταιεῖς*, alius liber *Πλαταίης*, in quo Hemsterhusio, qui *Πλαταιεῖς* edidit, *Πλαταιῆς* latere videbatur. Atticum esset *Πλαταιέας*, ut diserte praecipit Herodianus, ut videtur, apud Stephanum Byz. s. v. *Πλαταιαί.* Quamquam etiam *Πλαταιῆς* defendi posse videtur. Vid. Hist. crit. p. 469. Sed illud *Πλαταιεῖς* vel *Πλαταιῆς* eam quoque ob caussam ferri non potest, quod Athenienses nunquam contra Plataeenses arma cepisse constat. Unice igitur verum videtur *πρὸς Πλαταιαῖς*, de quo vide Hist. crit. p. 204.

IV.

Athenaeus IX p. 408 e: *ἡ πλείων δὲ χρῆσις κατὰ χειρὸς ὕδωρ εἴωθε λέγειν, ὡς Εὔπολις ἐν Χρυσῷ γένει καὶ Ἀμειψίας Σφενδόνῃ.* Cfr Lobeckius ad Phryn. p. 30.

V.

Pollux IX 96: *ἐν δὲ τῇ τοῦ Ἀμειψίου Σφενδόνῃ ὅ τε τρόπος δεδήλωται τῆς κυβείας καὶ προσείρηται ὅτι εἴη τὸ τρῆμα μναιαῖον, ὡς μνᾶν αὐτῶν ἐπιδιατεθειμένων ἑκάστῳ κύβῳ.* Ita codicis lectionem *τὸ τριμαμναιαῖον* emendavit Iungermannus, cuius haec est annotatio: „Ait Pollux in Amipsiae Sphendona explicari modum *κυβείας* et insuper addi *τὸ τρῆμα μναιαῖον. τρῆμα* hic idem cum eo, quod antea *τρύπημα* appellavit, *punctus in tessera*, *τὸ δηλοῦν τὸν ἀριθμὸν τῶν βληθέντων.* Id vero *μναιαῖον* vocat, quia nimirum, ut ipse explicat, mina erat proposita in singulas tesseras vincenti praemium."

INCERTARUM FABULARUM FRAGMENTA.

I.

Αὔλει μοι μέλος,
σὺ δ' ᾆδε πρός· τήνδ' ἐκπίομαι δ' ἐγὼ τέως.
B. αὔλει σύ, καὶ σὺ τὴν ἄμυστιν λάμβανε.
„Οὐ χρὴ πόλλ' ἔχειν θνητὸν ἄνθρωπον,
„ἀλλ' ἐρᾶν καὶ κατεσθίειν· σὺ δὲ κάρτα φείδῃ.

Athenaeus XI p. 783 e: *ἔπινον δὲ τὴν ἄμυστιν μετὰ μέλους, μεμετρημένου πρὸς ὠκύτητα χρόνου, ὡς Ἀμειψίας Αὔλει μοι μέλος κτλ.* Vs. 2 vulgo ita distingunt, *σὺ δ' ᾆδε πρὸς τήνδ'· ἐκπίομαι δ' ἐγὼ τέως*, et *τήνδε* de tibicina intelligunt, quam A tibias inflare iusserat. Ita etiam Dobraeus Advers. II p. 330. Recte dicitur *ᾄδειν πρὸς αὐλόν.* Num etiam *ᾄδειν πρὸς αὐλητήν?* Dubito: itaque Iacobsium Animadv. ad Athen. p. 249 sequutus sum. Eodem auctore personarum vices descripsi. *Πρὸς* adverbialiter dictum ne a comicorum quidem sermone alienum est. Aristoph. Ran. 415 *χορεύειν βούλομαι. B κἄγωγε πρός.* Equ. 578 *καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδέν.* — Vs. 3 *σὺ* post *καὶ* additum a Iacobsio. Quod sequitur scolium, si ita dicere licet, hoc fere metro scriptum videtur:

— ⏓ | ´— ⏑ — ´— ⏑ — ´— ⏑ —

´— ⏑ — ´— ⏑ — ⏑̄ | ´— ⏑ ⏑ — ⏑ — ⏓

Nescio igitur an post *ἄνθρωπον* addendum sit *ὄντ'.* Nisi forte locus ita exhibendus est:

οὐ χρῆν πόλλ' ἔχειν θνητὸν ἄνδρ', ἀλλ' ἐρᾶν
καὶ κατεσθίειν κτλ.

Similiter Th. Bergkius Comm. p. 368. Postrema ita corri-

genda putabam: *σὺ δὲ κάρτ' ἀφειδής*, ut is qui carmen canit, alteri qui poculum ebibit, intemperantiam in bibendo exprobret. Tuetur editam lectionem Th. Bergkius. Poetam enim hoc carmen in reprehensionem eius, qui convivium praebebat, subito convertere: convivam igitur illum, cum dixisset hominis esse, uti bonis neque magnas divitias congerere, illi avaritiam exprobrare: *σὺ δὲ κάρτα φείδῃ*. Hoc si verum est, malim sane *σὺ δὲ κάρτα φειδός*. Nam *φείδεσθαι* absolute vix dici potest de homine parco et avaro. Ceterum Bergkius locum ad *'Αποκοτταβίζοντας* revocabat.

II.

Ἔρρ' ἐς κόρακας, μονοφάγε καὶ τοιχωρύχε.

Athenaeus I p. 8 e: *ὅτι τὸ μονοφαγεῖν ἐστιν ἐν χρήσει τοῖς παλαιοῖς. 'Αντιφάνης Μονοφαγεῖς ἤδη τι καὶ βλάπτεις ἐμέ. 'Αμειψίας Ἔρρ' ἐς κόρακας κτλ.*

III.

Οὐ σχῖνος οὐδ' ἀσφάραγος οὐ δάφνης κλάδοι.

Athenaeus II p. 62 e: *Κρατῖνος δὲ διὰ τοῦ φ ἀσφάραγον ὀνομάζει, καὶ Θεόπομπος — 'Αμειψίας Οὐ σχῖνος κτλ.* De *ἀσφάραγος* et *ἀσπάραγος* vide Lobeckium ad Phryn. p. 110.

IV.

Athenaeus II p. 68 b. de tribus vocabuli *ὀρίγανος* generibus agens: *οὐδετέρως δ' 'Επίχαρμος καὶ 'Αμειψίας.*

V.

'Επ' αὐτὸν ἥκεις τὸν βατῆρα τῆς θύρας.

Pollux II 200: *καὶ βατὴρ ὁ οὐδός, ἐφ' οὗ καὶ βαίνομεν, ὡς 'Αμειψίας 'Επ' αὐτὸν ἥκεις κτλ.* Diogenianus Prov. III 38: *αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας,*

οἷον ἐπ' αὐτὰ ἀφῖξαι τὰ πράγματα. In eundem sensum Amipsiae versum intellige.

VI.

Scholiasta Aristoph. Vesp. 1164: *αἰτία δὲ τοῦ λεξειδίου ἡ συνήθεια* (*ἀσυνήθεια?*). *μήποτε γὰρ καὶ πεποίηται ὑπ' αὐτοῦ. εἰ δὲ μὴ ἀπεσχεδίασται τὸ διαλυκώνισον, τάχα ἂν λέγοιτο ἀπὸ Λύκου πεντάθλου· φαίνεται γάρ τις καὶ μαλακώτερος γενέσθαι. Ἀμειψίας Εἰ μὴ θανοῦσίν ἐστί τις τιμὴ καταβῶμεν.* Pro *Λύκου* coniicias *Αὐτολύκου* scribendum esse, de quo homine vide Hist. crit. p. 117. Magis tamen placeret si ita locus scriptus esset, *τάχα ἂν λέγοιτο ἀπὸ Λύκωνος Αὐτολύκου πεντάθλου*, a Lycone Autolyci pancratiastae patre. Eum igitur Amipsias ita fere loquentem induxerat,

εἰ μὲν θανοῦσίν ἐστί τις κάτω τρυφή,
τί μὴ καταβῶμεν;

VII.

Scholiasta Aristoph. Plut. 885: *οὐ φοβοῦμαί σε ἔχων φυσικὸν δακτύλιον· δακτύλιον δὲ τὸν λεγόμενον φαρμακίτην. Εὔπολις Βάπταις μέμνηται. ὁ δ' Εὔδαμος* (Ven. *Εὔδημος*) *φαρμακοπώλης, καὶ Ἀμειψίας, ἢ χρυσοπώλης κτλ.* Kusterus et Hemsterh. verba *καὶ Ἀμειψίας* post *μέμνηται* transposuerunt, sine idonea caussa. Cfr Fritzschius Quaest. Aristoph. I p. 205. De Eudemo opportune Hemsterhusius affert Theophrastum H. P. IX 18: *Εὔδημος ὁ φαρμακοπώλης, εὐδοκιμῶν σφόδρα τὴν τέχνην.*

VIII.

Pollux II 50: *παρὰ δὲ τοῖς κωμικοῖς τὸ νεύειν ὀφρυάζειν εἴρηται*, ubi priorum verborum loco cod. Falck. habet *ὁ δὲ κωμικὸς Ἀμαψίας* h. e. *Ἀμειψίας*, quo recepto *εἴρηται* mutandum in *εἴρηκε*, quod vidit iam Porsonus Advers. p. 251. Verbum *ὀφρυάζειν* Photius Lex. p. 364 19 interpretatur *τὸ συνάγειν τὰς ὀφρῦς*. In Pollucis loco fortasse

scribendum τὸ νεύειν [ὀφρύσιν] ὀφρυάζειν. Ceterum quum idem grammaticus l. l. § 49 τὸ συνάγειν ὀφρῦς proprium esse dicat τῶν φροντιστῶν, non improbabilis videri potest Fritzschii Quaest. Arist. I p. 256 coniectura, illud ὀφρυάζειν ex *Conno* derivatum esse.

IX.

Pollux III 48: τὸν δὲ νεόγαμον νεογύνην Ἀμειψίας ὠνόμασε. MS νεογήμην.

X.

Suidas, Ἀναβιβῶμαι: ἀντὶ τοῦ ἀναβιβάσομαι. Ἀμειψίας. Eadem Zonaras Lex. I p. 195.

XI.

Photius Lex. p. 525 4. Σκότος καὶ σκότον: ἑκατέρως. οὕτως Ἀμειψίας.

XII.

Vita Aristoph. p. XVIII ed. Dind. διὸ καὶ ἔσκωττον αὐτὸν (Aristophanes) Ἀριστώνυμός τε καὶ Ἀμειψίας τετράδι αὐτὸν λέγοντες γενέσθαι. Vide ad Aristonymi Solem frig. VI.

XIII.

Antiatticista p. 113 26: Στρωματόδεσμον, καὶ ἀρρενικῶς καὶ οὐδετέρως. Ἀμειψίας. V. Lobeckius ad Phryn. p. 401.

XIV.

Grammaticus Bekkeri Anecd. p. 365 30. Ἄκοπος ἀνήρ: ἀντὶ τοῦ οὐδέπω ἠνοχλημένος ὑπό τινος. οὕτως Ἀμειψίας. Eadem Suidas s. v. ἄκοπος.

XV.

Grammaticus Bekkeri Anecd. p. 403 5. Ἀνήκει: Ἀντιφῶν μὲν ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ ἀνήκω ἀντὶ τοῦ ἀναβέβηκα καὶ προελήλυθα ἔφη. Eadem Suidas s. v. ἀνήκει, nisi quod pro ἀνήκω vitiose exhibet ἀνῆκα.

XVI.

Grammaticus Bekkeri Anecd. p. 405 15. Ἀνίστω: ἀντὶ τοῦ ἀνίστασο. οὕτως Ἀμειψίας. Eadem Suidas s. v. ἀνίστη.

XVII.

Grammaticus Bekkeri Anecd. p. 435 9. Ἀποσεσύκασται: τετρύγηται. Ἀμειψίας. Aliter Etymol. M. p. 124 49. ἀποσεσύκασται: τὰ σῦκα ἀποβέβληκε βρωθέντα.

ARCHIPPUS.

(Hist. crit. p. 205 sqq.)

ΑΜΦΙΤΡΥΩΝ. *)

I.

Καὶ ταῦτ᾽ ἔχων τὸ ῥύγχος οὑτωσὶ μακρόν.

Athenaeus III p. 95 e: *Ἄρχιππος Ἀμφιτρύωνι δευτέρῳ κατὰ παιδιὰν εἴρηκε (τὸ ῥύγχος) καὶ ἐπὶ τοῦ προσώπου οὕτως Καὶ ταῦτ᾽ ἔχων κτλ.* Similiter Strattis apud scholiastam Aristoph. Av. 1294 Opuntio *μέγα ῥύγχος* attribuit. Lusisse item videtur Cratinus Fragm. inc. fab. LXXXIII et si qui alii atticorum poetarum *ῥύγχος* de humana facie dixerunt.

II.

Τίς ἐκέρασέ σφῷν, ὦ κακόδαιμον, ἴσον ἴσῳ;

Athenaeus X p. 426 b: *εἰπόντος τινὸς Ἄρχιππον εἰρηκέναι ἐν δευτέρῳ Ἀμφιτρύωνι Τίς ἐκέρασε κτλ.* Dindorfius praeeunte Schweighaeusero *κακοδαίμον᾽*, quo non opus est. V. Brunckius ad Aristophanis Ran. 1479 et Reisigius Coniect. I p. 237.

III.

Athenaeus XI p. 499 b: *Ἄρχιππος ἐν Ἀμφιτρύωνι οὐδετέρως (τὸ σκύφος) εἴρηκε.* Post *Ἀμφιτρύωνι* addendum videtur *δευτέρῳ*. V. Hist. crit. p. 208.

---

*) V. Hist. crit. p. 208.

IV.

Hesychius, *Ἐπενώτισεν: ἐφώρμησεν.* [*Ἄρχιππος*] *Ἀμφιτρύωνι δευτέρῳ.* Verbo *ἐπινωτίζειν a tergo adoriri* usus est etiam Euripides Herc. fur. 359: *πυρσοῦ δ' ἀμφεκαλύφθη | ξανθὸν κρᾶτ' ἐπινωτίσας | δεινῷ χάσματι θηρός,* ubi *ξανθὸν κρᾶτα* non leonis sed Herculis caput est. Falluntur enim interpretes qui *ἐπινωτίσας* vertunt *tergo imponens*, quo totius loci sententia mirum quantum pervertitur.

V. VI.

Antiatticista p. 83 20. *Ἀναλέγειν: ἀντὶ τοῦ ἐκλέγειν. Ἄρχιππος Ἀμφιτρύωνι.* — Idem p. 105 16. *Κύων: ὦ κύων διὰ τοῦ ω. Ἄρχιππος Ἀμφιτρύωνι.*

VII.

Grammaticus Bekkeri Anecd. p. 452 28. *Ἀσκοθύλακος: Διοκλῆς Βάκχαις καὶ Ἄρχιππος Ἀμφιτρύωνι.* Eodem vocabulo usus est Aristophanes Fragm. 217. Significat, opinor, peram in qua et vinum et cibaria abscondebantur. Docere hoc videtur proverbium *ἀσκὸς καὶ θύλακος* de homine bibace et edace. V. Alexidis Hes. Fragm. I 4.

ΗΡΑΚΛΗΣ ΓΑΜΩΝ. *)

I.

Ἀνδρῶν ἄριστος καὶ μάλιστ' ἐμοὶ ξένος,
ἀτὰρ παρ' ἐμοί γ' ὢν εἶχεν οὐδὲ σύμβολον.

Pollux IX 72: *διελέγχουσι δὲ αὐτὸ (τὸ σύμβολον* dicit) *σμικρόν τι δύνασθαι, Ἀριστοφάνης μὲν ἐν Ἀναγύρῳ — Ἄρχιππος δὲ εἰπὼν ἐν Ἡρακλεῖ γαμοῦντι Ἀνδρῶν ἄριστος κτλ.*

---

*) V. Hist. crit. p. 208.

II.

Ταδὶ δ᾿ ἅμα χοίρων ἀκροκώλια μικρῶν,
ταύρου τ᾿ αὐξίκερω φλογίδες,
αἱ δολιχαί τε κάπρου φλογίδες.

Athenaeus XIV p. 656 b: *τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες — Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι Ταδὶ δ᾿ ἅμα κτλ.* Vs. 1 *τὰ δίδαλλα* cod. A. *τάδε δ᾿ ἄλλα* B. *τὰ δαίδαλα* PVL. Dindorfius *τὰ δ᾿ ἄλλα.* Scripsi quod proxime ad Veneti codicis lectionem accedit. — Vs. 2 vulgo *ταύρων ταξικέρων.* ABP *ταύρου ταξικερω.* Casaubonus *ταύρων τ᾿ ὀξυκέρων.* Bergkius Comment. p. 377 *ταύρου δ᾿ ὑψικέρω.* Dindorfius *ταύρου τ᾿ αὐξίκερω,* quod recipiendum duxi. *Κριὸν ἀεξίκερων* habet epigr. Welck. Syll. 165. — Vs. 3 malim *κάπρου σχελίδες.* Minus recte Bergkius *φλογίδες* delevit.

III.

Τὸ πῦρ πολὺ λίαν· ὕπαγε τὰς ἀκροβελίδας
ἄκρας.

Grammaticus Bekkeri Anecd. p. 371 28. *Ἀκροβελίδας: τὰ ἄκρα τῶν ὀβελίσκων. Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι Τὸ πῦρ πολύ κτλ.* Sunt coqui verba ad ministrum. *Ἄκρας* delendum videtur cum Th. Bergkio Comment. p. 377.

IV.

Athenaeus XIV p. 640 f: *Φιλύλλιος δ᾿ ἐν Φρεωρύχῳ φησὶ περὶ τῶν δευτέρων τραπεζῶν λέγων „ἀμύγδαλα, κάρυα, ἐπιφορήματα." καὶ Ἄρχιππος ἐν Ἡρακλεῖ καὶ Ἡρόδοτος ἐν πρώτῃ. καὶ ἐπιδορπίσασθαι δ᾿ ἔλεγον τὸ ἐντραγεῖν καὶ ἐπιδειπνῆσαι. ἅπερ Ἄρχιππος ἐν Ἡρακλεῖ γαμοῦντι ἐπιφορήματα καλεῖ διὰ τούτων Ἰτρίοις ἐπιφορήμασί τ᾿ ἄλλοις γέμουσα.* Scilicet *τράπεζα.* Haec fortasse sic scribenda sunt:

ἰτρίοισι κἀπιφορήμασιν
ἄλλοις γέμουσα.

Alia tentant Th. Bergkius Comment. p. 377 et Dobraeus Advers. II p. 348.

V.

Athenaeus VII p. 307 d: ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις Ἄρχιππος Ἡρακλεῖ γαμοῦντί φησι Νήστεις, κεστρέας, κεφάλους. A voce κεφάλους fortasse alter versus inchoabat.

VI.

Pollux X 169: καὶ ἁλία δὲ σκεῦός τι ἦν πύξινον, ᾧ τοὺς ἅλας ἐντρίβουσιν. Ἄρχιππος μέν γε ἐν Ἡρακλεῖ γαμοῦντί φησιν ἁλία πυξίνη.

Ι Χ Θ Υ Σ. *)

I.

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων κάπηλος,
Ἕρμαιος, ὃς βίᾳ δέρων ῥίνας γαλεούς τε πωλεῖ
καὶ τοὺς λάβρακος ἐντερεύων, ὡς λέγουσιν ἡμῖν.

Athenaeus VI p. 227 a: ἐξ ὀνόματος δ᾽ ἰχθυοπώλου μνημονεύει Ἑρμαίου Αἰγυπτίου Ἄρχιππος ἐν Ἰχθύσιν οὕτως Αἰγύπτιος κτλ. Idem VII p. 311 e: Ἄρχιππος ἐν Ἰχθύσι μνημονεύων τῶν λαβράκων φησίν Αἰγύπτιος μιαρώτατος κτλ. Vs. 1 variant libri inter Ἑρμαῖος et Ἕρμαιος. Praetuli Ἕρμαιος propter Arcadium de acc. p. 43 6: τὸ δὲ Ἕρμαιος κύριον προπαροξύνεται. — Vs. 2 ῥείνας A. Caeterum cfr Hist. crit. p. 206.

II.

Athenaeus VII p. 329 b: φέρε εἴπωμεν τίνες εἰσὶν αἱ παρὰ Ἀρχίππῳ ἐν Ἰχθύσι τῷ δράματι θρᾶτται. Κατὰ

---

*) V. Hist. crit. p. 205.

τὰς συγγραφὰς γὰρ τῶν ἰχθύων καὶ Ἀθηναίων ταυτὶ πεποίηκεν. Ἀποδοῦναι δ᾽ ὅσα ἔχομεν ἀλλήλων, ἡμᾶς μὲν τὰς Θράττας, καὶ τὴν Ἀθερίνην αὐλητρίδα, καὶ Σηπίαν τὴν Θύρσου, καὶ τοὺς Τριγλίας, καὶ Εὐκλείδην τὸν ἄρξαντα, καὶ Ἀναγυρουντόθεν τοὺς Κορακίωνας, καὶ Κωβιοῦ τοῦ Σαλαμινίου τόκον, καὶ Βάτραχον τὸν πάρεδρον τὸν ἐξ Ὠρεοῦ. Frustra Schweighaeuserus haec ad certam metrorum formam revocanda esse statuit: prosa oratione scriptum esse foedus illud indicavi iam olim Quaest. scen. II p. 45. Nomina illa, quibus in ambiguo ludit poeta, maiusculis litteris scripsi Hist. crit. p. 205. Fecit etiam Th. Bergkius Comment. p. 379. Inter *Thressas* istas, quas Athenienses piscibus se reddituros pollicentur, probabile est fuisse etiam matrem Cleophontis (schol. Aristoph. Ran. 693), quam Plato quoque piscibus devorandam exposuerat. *Atherine* tibicina aliunde non cognita. *Sepiae* nomen inter meretrices satis nobilitatum fuisse, docet Antiphanis lusus apud Athenaeum VIII p. 338 e. Quod Hist. crit. l. l. dicebam, Sepiam ab Archippo commemoratam Thyrsi non filiam, sed uxorem fuisse, Hesychii glossas in animo habebam, Θύρσος: αὐλητὴς ἦν γυναῖκα ἔχων ἑταίραν, et Θύρσου γυνή: Ἀριστοφάνης Νήσοις, οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ᾽ ἀντὶ τοῦ φύλλα εἰπεῖν καὶ κλάδους. Ita enim corrigebam codicis lectionem Θυρσουκύνη. Eandem viam ingressus est Bergkius l. l. Quae sequuntur verba τοὺς Τριγλίας cum Schweighaeuserus scribenda videntur τὰς Τριγλίδας vel τὰς Τρίγλας, quod frequens meretricum nomen fuit. V. Antiphanem l. l. Nec tamen improbabile est etiam viri nomen fuisse Τριγλίας. In Euclidis nomine, qui Olymp. XCIV 3 archon eponymus fuerat, vix recte ad κλεῖδας, inter salsamenta memoratas (Athen. VII p. 303 a), allusum esse arbitrantur. Mox Κορακίωνας scripsi praeeunte Bergkio pro eo quod ex C enotatum est κορακιῶνας. Ceteri libri κορακιῶντας. *Coraciones* Casaubono fratres fuisse videntur aut sodales ex Anagyrunte pago, quibus nomen a piscatione aut

venditione *κορακίνων* inditum fuerit. Hoc postremum minus recte dictum est. *Κόραξ* piscis nomen est; hinc recte nomen proprium formatur *Κορακίων*. De *Cobio Salaminio* nihil constat. „Batrachus et ranam significat et nomen est alicuius qui cum odio multorum Athenis tum paredri vices fungebatur, vel eo vulgo minus gratus quod non Athenis natus erat, sed in Histiaea sive Oreo Euboeae." Casaubonus. Notus est Batrachus sub triginta virorum dominatu delator. Qui num idem sit cum Orita, quis definire ausit? Non dubitat tamen Th. Bergkius Comment. p. 380. Cfr L. Hoelscher de vita Lysiae p. 147.

III.

Αἰρουμένους τε πραγμάτων ἐπιστάτας
ἀποδοκιμάζειν, [εἶτα δοκιμάζειν] πάλιν.
ἣν οὖν ποιῶμεν ταῦτα, κίνδυνος λαθεῖν
ἅπαξάπαντας γενομένους παλιναιρέτους.

Harpocratio p. 142 25: *ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν τοῖς Ἰχθύσι λέγων Αἰρουμένους τε πραγμάτων κτλ.* Verba uncis inclusa certa coniectura addidit Porsonus Miscell. p. 281.

IV.

Α. Τί λέγεις σύ; μάντεις εἰσὶ γὰρ θαλάσσιοι;
Β. Γαλεοίγε πάντων μάντεων σοφώτατοι.

Stephanus Byz. p. 197: *Γαλεῶται μάντεων εἶδος Σικελῶν. γαλεὸς δὲ καὶ ὁ ἀσκαλαβώτης. Φιλύλλιος Αὔγῃ — καὶ Ἄρχιππος Ἰχθύσι Τί λέγεις σὺ μάντις; εἰσὶ γὰρ θαλάσσιοι γαλεοί γε κτλ.* Haec ita emendavimus ut supra adscripta sunt. Confirmant codd. Palatt. in quibus *μάντεις* scriptum est. Qui secundo versu commemorantur galei, ad Galeotas alludunt, portentorum interpretes nobilissimos, de

quibus vide Ciceronem de Divin. I 20 et Aelianum V. H. XII 46. Itaque hic etiam in affini piscium hominumque nomine lusit.

V. VI.

Λεπάσιν, ἐχίνοις, ἐσχάραις, βελόναις τε τοῖς κτεσίν τε.
Κῆρυξ Θαλάσσης τρόφιμος, υἱὸς Πορφύρας.

Athenaeus III p. 86 c: *Ἄρχιππος δ' ἐν Ἰχθύσιν Λεπάσιν κτλ.* et paucis interiectis: *περὶ δὲ τῶν κηρύκων ὁ Ἄρχιππος τάδε λέγει Κῆρυξ κτλ.* Horum versuum primus repetitur III p. 90 f: *μνημονεύει δ' αὐτῶν (κτενῶν) καὶ Ἄρχιππος ἐν Ἰχθύσιν Λεπάσιν κτλ.* Utroque loco vulgabatur *κτένεσίν τε*, de quo mireris iudicium Buttmanni Gramm. uber. I p. 179. Recte Elmsleius Diar. Edinb. vol. 37 p. 88 scripsit *κτεσίν*, quod altero loco habet etiam cod. Laur. nisi quod is *κτέσιν* exhibet. Elmsleium sequutus est Dindorfius. Thalassa et Porphyra atticarum simul mulierum nomina.

VII.

Athenaeus VII p. 277 f: *μνημονεύει δ' αὐτῶν (τῶν ἀμιῶν) Ἄρχιππος ἐν Ἰχθύσι λέγων οὕτως Ὅτε δ' ἦσθες ἀμίας παχείας.* Scribendum videtur *ὅτε δ' ἤσθιες | ἀμίας παχείας.* Nisi forte praestat *ὅτε δ' ἦσθες ἀμίας τὰς παχείας.* Cfr Hist. crit. p. 210.

VIII.

Καὶ τὴν μὲν ἀφύην καταπέπωκεν ἐντυχὼν
ἑψητός.

Athenaeus VII p. 301 a: *Ἑψητὸς ἐπὶ τῶν λεπτῶν ἰχθυδίων — Ἄρχιππος Ἰχθύσι Καὶ τὴν μὲν κτλ.* Legebatur *ἑψητὸς ἐντυχών.* Elmsleius Diar. Edinb. vol. 19 p. 88 scribebat *καταπέπωχ' ἑψητὸς ἐντυχών τις.* Cfr Hist. crit. p. 207. ubi de Aphya meretricis nomine quae attuli iis adde Grammaticum Bekkeri Anecd. p. 203 15. *Ἀφύα: ὄνομα ἑταίρας. ἐκλήθη δὲ οὕτως ἀπὸ τῆς ἀφύης, ὅπερ ἐστὶν ἰχ-*

θύδιον φαῦλον καὶ λυπρόν. τοιαύτη δὲ ἦν καὶ ἡ ἑταίρα, ὡς ἔοικεν, ἀφ' οὗ καὶ τὴν προσηγορίαν ἔσχεν. **Rectius haud dubie Apollodorus Stagonium et Anthin meretrices ideo apuas appellatas esse dicit** ὅτι καὶ λευκαὶ καὶ λεπταὶ οὖσαι τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον **apud Athen. XIII p. 586.**

IX.

Ἱερεὺς γὰρ ἦλθ' αὐτοῖσιν ὀρφὼς τοῦ θεοῦ

Athenaeus VII p. 315 b. de orpho disserens: Ἄρχιππος δ' ἐν Ἰχθύσιν Ἱερεὺς κτλ. **VL** τοῦ θεοῦ. τοῦ θεῶν **superscripto** οῦ **P.** τοῦ θεῶν **AB. Schweighaeuserus** τοῦ θεῶν. **Paullo post Athenaeus:** τὴν μέντοι ἐνικὴν εὐθεῖαν ὀξυτόνως προφέρονται Ἀττικοί. Ἄρχιππος Ἰχθύσιν, ὡς πρόκειται. **Contra Arcadius de Acc. p. 94 5:** τὸ δὲ λαγῶς καὶ ὀρφῶς περισπῶνται. **Sed haec nunc pluribus persequutus est Th. Bergkius Comment. p. 418.**

X.

Καὶ μαιώτας καὶ σαπέρδας καὶ γλάνιδας.

Athenaeus VII p. 312 a: ὧν (μαιωτῶν) μνημονεύει Ἄρχιππος ἐν Ἰχθύσι διὰ τούτων Καὶ μαιώτας κτλ.

XI.

Ἐκήρυξεν βόαξ,
σάλπης δ' ἐσάλπιγξ' ἑπτ' ὀβολοὺς μισθὸν φέρων.


ΑΝΘΡΩΠΟΡΡΑΙΣΤΗΣ. *)

I.

Καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν,
Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον
διέκναισ' Ὀρέστην, Ἡγέλοχον τὸν Κιννάρου
μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν.

Scholiasta Euripidis Orest. 269 *ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ*] *κεκωμῴδηται ὁ στίχος διὰ Ἡγέλοχον τὸν ὑποκριτήν. οὐ γὰρ φθάσαντα διελεῖν τὴν συναλοιφήν, ἐπιλείψαντος τοῦ πνεύματος, τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῷον, ἀλλ' οὐχὶ τὰ γαληνά. πολλοὶ μὲν οὖν διέπαιξαν τῶν κωμικῶν, Ἀριστοφάνης καὶ Στράττις ἐν Ἀνθρωπορραίστῃ Καὶ τῶν μὲν ἄλλων κτλ.* Vs. 3 vulgo *Ὀρέστῃ*. Correxit Berglerus ad Aristoph. Ran. 305. Male

---

*) V. Hist. crit. p. 224.

Matthiae *'Ορέστης*. V. Hist. crit. p. 224. Ibid. *Κιννάρου* Bentleius. Vulgo *Κινυάρου*. Matthiae *Κινύρου*, quod primam syllabam corripit. Nominis *Κίννυρος* vel *Κιννύρας* exemplum habet Zenobius Prov. I 31.

II.

Τῶν δὲ διδύμων ἐκγόνων
σεμιδάλιδος.

Athenaeus III p. 127 c. d: *καὶ σεμιδάλεως δὲ μέμνηται, καὶ εἰ μὴ τὰ μαρτύρια κρατῶ, Στράττις ἐν 'Ανθρωπορραίστῃ καὶ Ἄλεξις ἐν Ἰσοστασίῳ. τὴν γενικὴν δὲ σεμιδάλιδος εἴρηκεν ὁ Στράττις ἐν τῷ αὐτῷ δράματι οὕτως Τῶνδε διδύμων ἐκγόνων σεμιδάλιδος.* Pollux VI 75: *Στράττις δὲ καὶ τὴν γενικὴν εἴρηκε σεμιδάλιδος.* Integrum senarium restituas si scribas *τούτων δὲ* vel *τωνδὶ δέ*. Farinae filios dicit panes, quo dicendi genere in eadem re usus est Archestratus Athenaei III p. 112 b: *εἶτα τὸν ἐν Τεγέαις* (leg. *Τεγέᾳ*) *σεμιδάλεος υἱὸν ἐπαινῶ*, ubi Casaubonus admonet Philyllii collabos *πυρῶν ἐκγόνους* dicentis in Auge. Eodem pertinet quod idem Archestratus dixit apud Athenaeum IV p. 137 c: *Δήμητρος παῖδ' ὀπτὸν ἐπεισελθόντα πλακοῦντα.*

Α Τ Α Λ Α Ν Τ Η. *)

I.

Καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
εὑρεῖν με συκάζουσαν, εἶθ' ἥκειν ταχὺ
τὸν αὐλοτρύπην αὐτόν.

Isocratis vita a Mustox. edita p. X ed. Dind. *σκώπτουσι δὲ αὐτὸν οἱ κωμικοὶ ἐπὶ τῇ Λαγίσκῃ, ὧν εἷς ἐστι καὶ Στράτ-*

---

*) V. Hist. crit. p. 224.

τις λέγων ταῦτα ἐν Ἀταλάντῃ Καὶ τὴν Λαγίσκην κτλ. Athenaeus XIII p. 592 d: Ἕρμιππος προβαίνοντά φησι τῇ ἡλικίᾳ *) τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δ' αὐτῆς Στράττις ἐν τούτοις Καὶ τὴν Λαγίσκαν κτλ. Harpocratio p. 118 15: Λαγίσκας τῆς ἑταίρας μνημονεύει καὶ Στράττις οὕτως Λαγίσκαν κτλ. Exhibui locum ut legitur fere in vita Isocratis; apud Athenaeum et Harpocrationem postrema ita scripta sunt: ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι, τόν τ' αὐλοτρύπην αὐτόν, in qua lectione ad Λαγίσκαν εὐναίαν non inepte Toupius Add. ad Theocr. p. 410 comparat λαγὼν εὐναῖον *leporem in cubili iacentem.* Quod probans Schweighaeuserus εὐνὴν de lupanari interpretatur, in quo fuerit Lagisca antequam in Isocratis domum esset recepta. Nec video meliora. Συκάζουσαν idem interpretatur κνίζουσαν ἐρωτικῶς. Hesychius, Συκάζειν: τὸ κνίζειν ἐν ἐρωτικαῖς ὁμιλίαις. Cfr similem usum verbi συκοφαντεῖν apud Menandr. p. 295. Ea interpretatione admissa, particula τε, quam vs. 3 post τὸν habent Athenaeus et Harpocratio, fortasse delenda est, ut accusativi τὸν αὐλοτρύπην αὐτὸν pendeant a συκάζουσαν. Sed incerta vagatur totius loci interpretatio, praesertim in tanta scripturae diversitate. — Vs. 3 pro αὐλότρυπον ex Athenaeo et Harpocratione scripsi αὐλοτρύπην. Respicit ad hunc locum Plutarchus vit. decem orat. p. 836 e: ὅθεν (sc. quod pater Isocratis Theodorus tibiis fabricandis operam dederat) εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπὸ Ἀριστοφάνους καὶ Στράττιδος. Pollux IV, 71: καὶ α ὐ λ ο τ ρ ύ π η ς, ὡς ἡ κωμῳδία. Suidas III p. 603. de Philisco Milesio: ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος. διὸ καὶ αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. Quae iure miratur Kusterus. Obscaenum illi nomini subesse sen-

---

*) Προβαίνων τῇ ἡλικίᾳ Isocrates, qui Olymp. CX 3 nonaginta octo annos natus supremum diem obiit, ante sexagesimum aetatis annum dici vix potuit, ex quo intelligitur Atalantam fabulam non ante Olymp. C commissam esse. Cfr Hist. crit. p. 225.

sum non negaverim, quamquam *αὐλὸς* vix unquam de muliebri parte dictum reperiatur. Ceterum utrum *Λαγίσκα*, quod ex Athenaeo et Harpocratione recepi, rectius scribatur an *Λαγίσκη*, ut habet vita Isocratis, non definiam. Forma *Λαγίσκα* usus est etiam Lysias apud Athen. p. 586 f. *Λαγίσκη* legitur in fragmento Anaxandridis Athen. p. 569 e. Denique vs. 2 pro *με* Isocratis vita habet *μέν*, et pro *εὐναίαν* cod. B *εὔνοιαν*.

II.

Ὑπογάστριον θύννου τι κἀκροκώλιον
δραχμῆς ὕειον.

Athenaeus VII p. 302 d: *ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια. — Στράττις Ἀταλάντῃ Ὑπογάστριον κτλ.* Scripsi *τι* pro *τε* ex IX p. 399 d. ubi primus versus iterum apponitur.

III.

Scholiasta Aristoph. Ran. 146: *τινές φασι τῷ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντῃ δράματι. ψεῦδος δέ· πολλῷ γὰρ ὕστερον τῶν Βατράχων ἡ Ἀταλάντη Στράττιδος δεδίδακται.* Eadem fere Suidas habet s. v. *σκῶρ*. Cfr Hist. crit. p. 225. Vulgo scribitur *σκώρ*. V. Lobeckii Paral. p. 77.

IV. V.

Suidas vol. I p. 611. *διφροφόροι: Στράττις ἐν Ἀταλάνταις.* — Scholiasta Ven. ad Aristoph. Pac. 347: *ὁ δὲ δεύτερος* (*Phormio*) *ἦν κωφός· μέμνηται καὶ Στράττις. τρίτος μοιχός· Κρατῖνος Ἀταλάντῃ· τέταρτος Κροτωνιάτης ἀρχαῖος· Κρατῖνος Τροφωνίῳ* Apertum est Atalantae memoriam ad Strattidis nomen spectare.

VI. VII.

Hesychius s. v. *Διονυσοκουροπυρώνην. τὸν γὰρ Διονύσιον κουρέα ὄντα κωμῳδεῖ. κουρεὺς δὲ ἦν πρὸς πάππου, ὡς δηλοῖ ὁ τὰς Ἀταλάντας συνθείς.* V. ad Cratinum p. 135.

— Scholiasta Aristoph. Av. 1294: *μνημονεύει δ' αὐτοῦ* (Opuntium dicit) *ὡς μέγα ῥύγχος ἔχοντος καὶ ὁ τὰς Ἀταλάντας γράψας καὶ Εὔπολις ἐν Ταξιάρχοις.*

ΖΩΠΥΡΟΣ ΠΕΡΙΚΑΙΟΜΕΝΟΣ. *)

Hesychius: *Οὐ μάλα κικκάς* (cod. *οὐμαλακικκάς*): *παροιμία τὸ μηδὲν σημαίνουσα. ὠνήτης δὲ κικκὰς* (cod. *κοκκὰς*) *οὐ μάλα φαίνεται. καὶ Στράττις ἐν Ζωπύρῳ περικαιομένῳ Τῶν οὐ μάλα τέθηκα κεκυκκᾶν ἐπικρατῇ.* Praeter *Ἐπικράτη*, de quo vide Hist. crit. p. 182, in his nihil certum.

Ι Φ Ι Γ Ε Ρ Ω Ν.

Vide Hist. crit. p. 226 et fragmenta Apollophanis.

Κ Α Λ Λ Ι Π Π Ι Δ Η Σ. **)

I.

Αὐτίκα δ' ἥρπασε τεμάχη
θερμάς τε κάπρου φλογίδας, ἔβρυχέ τε πάνθ' ἅμα.

Athenaeus XIV p. 656 b: *τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες. Στράττις γοῦν ἐν Καλλιππίδῃ ἐπὶ τοῦ Ἡρακλέους φησὶν Αὐτίκα κτλ.* Versu primo nonnihil turbatum esse docent et numeri et ictus in ultima syllaba verbi *ἥρπασε.* Fortasse igitur locus ad anapaesticos numeros revocandus:

*) V. Hist. crit. p. 225. **) V. Hist. crit. p. 226.

αὐτίκα δ' ἥρπασε
τεμάχη θερμάς τε κάπρου φλογίδας,
κατέβρυξέ τε πάνθ' ἅμα — υ υ —

Pro ἔβρυχε PVL habent ἔβρεχε.

II.

Athenaeus VII p. 304 b: μνημονεύει δὲ τῶν θυννίδων καὶ Στράττις ἐν Καλλιππίδῃ.

De alio loco fortasse ad hanc fabulam referendo dixi Hist. crit. p. 227.

ΚΙΝΗΣΙΑΣ. *)

I.

Τὰ δ' ἄλφιθ' ὑμῖν πῶς ἐπώλουν; Β. τεττάρων
δραχμῶν μάλιστα τὸν κόφινον. Α. τί λέγεις; μέτρῳ
ἐχρῶντο κοφίνῳ;

Pollux IV 169: οὐ μόνον δὲ κοτύλη καὶ ὑγρῶν ἦν καὶ ξηρῶν μέτρον, ὡς πολλαχόθεν ἡ κωμῳδία δηλοῖ, ἀλλὰ καὶ κόφινος, μέτρον Βοιώτιον, ἄμφω μετροῦν. Στράττις γοῦν φησιν ἐν τῷ Κινησίᾳ Τὰ δ' ἄλφιθ' ὑμῖν — κοφίνῳ, ἢ τοῦ ταῦθ' ὅτε οἴνου κόφινος δυνάμενος τρεῖς χόας. πυρρῶν (corrigunt πυρῶν) ταὐτὰ ταῖς κοφίναις. Haec postrema non expedio.

II.

Ἁλμυρόν θ' ὕδωρ,
ἕτερόν τε λεπτὸν ἐν ἁλίᾳ κεκομμένον.

Pollux X 169: καὶ ἁλία δὲ σκεῦός τι ἦν, ᾧ τοὺς ἅλας ἐντρίβουσιν — Στράττις δὲ ἐν Κινησίᾳ Ἁλμυρόν θ' ὕδωρ κτλ. Cod. Kuhnii ἑτερόν τι. Pro ἕτερον requiro νίτρον

*) V. Hist. crit. p. 227.

vel simile quid. Describi enim videtur tenuis balnei apparatus. Athenaeus VIII p. 351 e: *τοῦ βαλανέως ῥύμμα μοχθηρὰν γῆν καὶ ὕδωρ ἁλμυρὸν παρέχοντος, πολιορκεῖσθαι ἔφη κατὰ γῆν καὶ κατὰ θάλασσαν.* Quamquam possis etiam *κέγχρον* coniicere, idque altero fortasse probabilius.

III.

Pollux X 189: *Στράττις ἐν τῷ Κινησίᾳ τὸν Σαννυρίωνα διὰ τὴν ἰσχνότητα κάνναβον καλεῖ.* Hesychius, *Κάναβοι: τὰ ξύλα, περὶ ἃ τὸ πρῶτον οἱ πλάσται τὸν κηρὸν τιθέασιν. ὅθεν καὶ οἱ λεπτοὶ καὶ ἄσαρκοι κάνναβοι λέγονται.* Cfr Iacobsium Anim. ad Anal. Br. II 2 p. 482. Sannyrionis macilentiam, quam cum Cinesiae gracilitate (Fragm. V) hac in fabula Strattis composuisse videtur, risit etiam Psychast. IV.

IV.

Harpocratio p. 111 25: *Στράττις ὅλον δρᾶμα ποιήσας εἰς αὐτόν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ καὶ τὴν ἀσέβειαν αὐτοῦ κωμῳδεῖ.*

V.

Athenaeus XII p. 551 d: *Ἦν δὲ ὄντως μακρότατος καὶ λεπτότατος ὁ Κινησίας, εἰς ὃν καὶ ὅλον δρᾶμα γέγραφε Στράττις, Φθιώτην Ἀχιλλέα αὐτὸν καλῶν, διὰ τὸ ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ Φθιῶτα λέγειν. παίζων οὖν εἰς τὴν ἰδέαν αὐτοῦ ἔφη Φθιῶτ᾽ Ἀχιλλεῦ.* Erat enim *φθόης προφήτης* Cinesias, ut Plato comicus eum salse appellavit. Cfr Hist. crit. p. 230 sq. Ad Cinesiae et Sannyrionis (Fragm. III) gracilitatem spectat fortasse etiam inc. fab. fragm. VI. Verbis *Φθιῶτ᾽ Ἀχιλλεῦ* usus est etiam Aeschylus in Myrmidonibus. V. Aristoph. Ran. 1264.

VI.

Scholiasta Aristoph. Av. 1568. de Laespodia: *εἶχε δὲ καὶ περὶ τὰς κνήμας τινὰς αἰκίας, ὥς φησι Στράττις ἐν Κινησίᾳ.* Ita enim pro *αἰτίας* correxit Casaubonus ad Athen. VII p. 327 e.

VII.

Scholiasta Aristoph. Plut. 550 *ὑμεῖς γ' οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον*] *μήποτε ὁ ἀξιωματικὸς καὶ αὐθάδης, ὡς Στράττις ἐν τῷ Κινησίᾳ. Διονύσιος δὲ ὁ μέν τις φαίνεται μαινόμενος, ὁ δέ, ὡς ἔοικεν, ἰχθυοπώλης.* „Indicari videtur Thrasybulus, cuius fit mentio in Eccles. 203. Nam ibi quoque describitur a scholiaste *αὐθάδης καὶ δωροδόκος* (vid. v. 356) et *ὑπερόπτης τοῦ δήμου.* Idemne fuerit qui Collytensis necne, non affirmaverim." Hemsterhusius. Quae Fritzschius de Aristophanis loco disputavit Quaest. Aristoph. I p. 236, in quo ille Dionysio substituit Dionysum, quem Thrasybuli fratrem fuisse sibi persuasit, magnae obnoxia sunt dubitationi. Quis enim antiquis illis temporibus *Διόνυσος* Attici civis nomen esse audivit? Amipsias quidem et Eupolis et Cratinus, quos v. cl. testes advocat, non de homine loquuntur sed de Baccho. In Bekkeri autem Anecd. p. 410 1. ubi Antigenidas *υἱὸς Διονύσου* dicitur, legendum est *Διονυσίου.* V. quae dicentur ad Anaxandridis Protes. I vs. 16. Antiquissimum et fortasse unicum apud Athenienses nominis *Διόνυσος* exemplum habemus apud Boeckhium Corp. Inscr. vol. I p. 193 in titulo secundi post Christum saeculi, ubi commemoratur Musaeus Dionysi filius. Sed quis praestet ne hunc quidem Dionysum non civem sed servilis hominem fuisse condicionis? Servis enim hoc nomen passim fuisse impositum, ex Petronio constat.

VIII.

Erotianus Expos. voc. Hipp. p. 216. de *καμμόρῳ*, medicamento refrigeratorio disserens: *ἐφ' ἱδρῶσι δὲ παραλαμβάνει Στράττιν ἐν κυνηγοῖς* (leg. *Κινησίᾳ*) *λέγοντα.* Corrupta haec, et sine librorum ope vix sananda. Cfr Hist. crit. p. 231.

ΛΗΜΝΟΜΕΔΑ. *)

I.

Ἑρμῆς, ὃν ἕλκουσ' οἱ μὲν ἐκ προχοιδίου,
οἱ δ' ἐκ καδίσκου σ' ἴσον ἴσῳ κεκραμένον.

Athenaeus XI p. 473 c: *μνημονεύει τοῦ καδίσκου καὶ Στράττις ὁ κωμικὸς ἐν Λημνομέδᾳ λέγων οὕτως Ἑρμῆς κτλ.* **Idem I p. 32 b:** *Ἑρμῆς δ' εἶδος πόσεως παρὰ Στράττιδι,* **quae repetiit Eustathius ad Hom. p. 1470 64. Comparandus Cratinus Pytin. p. 127:** *τοὺς μὲν ἐκ προχοιδίου, τοὺς δ' ἐκ καδίσκου.* **Quod post** *καδίσκου* **legitur** *σ'*, **supplevit Porsonus. Fritzschius Quaest. Arist. I p. 269 addebat** *γ'*.

II.

Πολλοὺς δὴ μεγάλους τε φάγρους ἐγκάψας.

Athenaeus VII p. 327 e: *μνημονεύει τοῦ φάγρου καὶ Στράττις ἐν Λημνομέδᾳ Πολλοὺς κτλ.* **Metri speciem restitues si pro** *δὴ* **scripseris** *ἤδη*.

III.

Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν.

Scholiasta Platonis Bekk. p. 320: *τῶν δὲ βόλων* **(in tesserae ludo)** *ὁ μὲν τὰ ἕξ δυνάμενος Κῷος καὶ ἑξίτης ἐλέγετο, Χῖος δὲ ὁ τὸ ἕν, καὶ κύων. λέγεται δέ τις καὶ παροιμία ἀπὸ τούτου οἷον Χῖος παραστὰς Κῷον οὐκ ἐάσω· ἀφ' οὗ καὶ Στράττις Λιμνοπέδαις Χῖος παραστὰς κτλ.* **Omisso fabulae titulo versum habet etiam Eustathius ad Homer. p. 1397 41**

---

*) V. Hist. crit. p. 231.

IV.

῾Υποδήματα σεαυτῷ πρίασθαι τῶν ἁπλῶν.

Harpocratio p. 26 5: *ἁπλᾶς Δημοσθένης κατὰ Κόνωνος. Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι. Στράττις Δημνομέδᾳ ῾Υποδήματα κτλ.* Pro *σεαυτῷ* quattuor codices Bekkeri *σαυτῷ*. Itaque haec ita potius distinguenda sunt, *ὑποδήματα | σαυτῷ πρίασθαι τῶν ἁπλῶν.* Pro *πρίασθαι* unus liber *περιᾶσθαι*, alius *περιασθαι.*

ΜΑΚΕΔΟΝΕΣ Η ΠΑΥΣΑΝΙΑΣ. *)

I.

Τὸν πέπλον δὲ τοῦτον
ἕλκουσ᾽ ὀνεύοντες τοπείοις ἄνδρες ἀναρίθμητοι
εἰς ἄκρον ὥσπερ ἱστίον τὸν ἱστόν.

Harpocratio p. 176 12: *τοπεῖα λέγουσι τὰ σχοινία. Στράττις Μακεδόσι Τὸν πέπλον δὲ τοῦτον κτλ.* Partem loci servavit etiam Etymol. M. p. 762 20: *Στράττις Μακεδόσι Τὸν πέπλον δὲ τοῦτον ἕλκουσι δεσμεύοντες τοπείῳ ἄνδρες.* Neque aliter Photius p. 595 18 nisi quod pro *τοπείῳ* habet *τοπίοις*, et Suidas s. v. *τοπεῖον.* Vs. 2 legebatur *ἕλκουσι δεσμεύοντες*, pro quo Harpocrationis codices praeter unum D habent *ἕλκουσι δονεύοντες*, quod quum olim in *δεσμοῦντες* mutassem, recepit eam coniecturam Bekkerus. Sed verum est haud dubie id quod nunc reposui *ἕλκουσ᾽ ὀνεύοντες*, quod quid sit optime explicat Phrynichus Appar. Soph. p. 57 21. *᾽Ονεύειν: τὸ περιάγειν τὰ μηχανήματα, οἷς τούς τε λίθους καὶ τὰ ἄλλα ἕλκουσιν. ὄνος δ᾽ ἐστὶν αὐτὸ τὸ μηχάνημα τὸ διὰ τροχιλίων καὶ σχοινίων.*

---

*) V. Hist. crit. p. 231.

Usus est eo verbo etiam Thucydides VII 25. Cfr Foesii Oecon. Hipp. p. 465. — Vs. 3 *ἱστὸν* scripsi praeeunte Dobraeo Advers. p. 589. pro *εἰς τόν*. Sed praeterea *ἱστίου*, quod vulgo legitur, mutandum erat in *ἱστίον*. Hoc enim dicit: *ἕλκουσι τὸν πέπλον ὥσπερ ἱστίον εἰς ἄκρον τὸν ἱστόν*. Peplum autem intellige Minervae, qui in Panathenaeorum solennitate veli instar in sacra navi suspendebatur. Spectat huc, ut alia mittam quae Meursius aliique attulerunt, locus Photii Lex. p. 116 11: *ὁ μὲν ἱστὸς τὸ ἐπίμηκες ξύλον ἄνω τεταμένον, κεραία δὲ τὰ πλάγια, ὥστε γενέσθαι τὸ γράμμα ταυ. διετείνετο δὲ πολλάκις ὁ τῆς Ἀθηνᾶς πέπλος εἰς τοιοῦτο σχῆμα ξύλων καὶ ἐπόμπευσεν*. Ac fortasse ad hunc ipsum Strattidis locum pertinent haec eiusdem Photii verba p. 412 9: *περὶ τοῦ πέπλου τοῦ ἀναγομένου τῇ Ἀθηνᾷ τοῖς μεγάλοις Παναθηναίοις οὐ μόνον παρὰ τοῖς ῥήτορσίν ἐστιν ἡ μνήμη, ἀλλὰ καὶ παρὰ τοῖς κωμικοῖς*. Commemoratur tamen peplus ille etiam in fragmento Philippidae apud Plutarchum Demetr. 12.

II.

Ἡ σφύραινα δ' ἐστὶ τίς;

B. κέστραν μὲν ὔμμες ὠττικοὶ κικλήσκετε.

Athenaeus VII p. 323 b: *Στράττις γοῦν ἐν Μακεδόσιν ἐρομένου τινὸς Ἀττικοῦ ὡς ἀγνοοῦντος τὸ ὄνομα (σφύραινα), καὶ λέγοντος Ἡ σφύραινα δ' ἐστὶ τίς; φησὶν ὁ ἕτερος Κέστραν κτλ.* Schweighaeuserus *ὠττικοί*.

III.

Ὑπογάστριά θ' ἡδέα θύννων.

Athenaeus VII p. 302 e: *ἐν δὲ Μακεδόσιν* (sc. *Στράττις ἔφη*) *Ὑπογάστριά θ' ἡδέα θύννων.*

IV.

Antiatticista p. 108 29. *Μακεδόνισσαν: τὴν γυναῖκα. Στράττις Μακεδόσιν.* Ut a *βασιλὶς* formatur *βασίλισσα*,

ita *Μακεδόνισσα* a *Μακεδονίς*. Utrumque labentis graecitatis est.

V.

A. Εἰσὶν δὲ πόθεν αἱ παῖδες αὗται καὶ τίνες;
B. νυνὶ μὲν ἥκουσιν Μεγαρόθεν, εἰσὶ δὲ
Κορίνθιαι· Λαῒς μὲν ἡδὶ Μεγακλέους.

Athenaeus XIII p. 589 a: *Στράττις δ' ἐν Μακεδόσιν ἢ Παυσανίᾳ Κορινθίαν αὐτὴν* (Laida) *εἶναί φησι διὰ τούτων Εἰσὶν δὲ πόθεν αἱ παῖδες κτλ.* Vs. 1 *εἰσὶν δὲ* Schweighaeuserus. *εἰσὶ δὲ* BP. *εἰσὶ δ'*. Ibid. *πόθεν* Schweighaeuserus et Porsonus ad Aristoph. Av. 521 pro *ὅθεν*. — Vs. 2 libri *νῦν*. Correxi Cur. crit. p. 70. Ita etiam Porsonus. — Vs. 3 *ἡδὶ Μεγακλέους* sc. serva. Correxit ita Porsonus. A *ἡ μέγα κλέος ἰδέ*. B *ἡ μέγα κλέος ἰδί*. P *ἡ μέγα κλέος ἴδι* .... VL *ἡ μέγα κλέος*.

VI.

*Πνικτόν τι τοίνυν * * ἔστω σοι συχνόν*
τοιοῦτον.

Athenaeus IX p. 396 a: *Στράττις εἶπεν — ἐν Μακεδόσιν ἢ Κινησίᾳ Πνικτόν τι τοίνυν ἔστω σοι συχνὸν τοιοῦτον.* Posui lacunae indicium. Fortasse *ὄψον* excidit. Possunt haec etiam ad unum tetrametrum coniungi. Pro *Κινησίᾳ* fortasse legendum *Παυσανίᾳ*. Cfr Hist. crit. p. 231.

VII.

Πολλῶν φλυάρων καὶ ταῶν ἀντάξια,
οὓς βόσκεθ' ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

Athenaeus XIV p. 654 f: *Ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς* (pavones) *ἐν ταῖς οἰκίαις Στράττις παρίστησιν ἐν Παυσανίᾳ διὰ τούτων Πολλῶν φλυάρων κτλ.* Scripsi *ταῶν* pro *ταῶν*. Cfr Lehrsii Aristarchum p. 341 sq.

ΜΥΡΜΙΔΟΝΕΣ. *)

Ἐν τοῖς βαλανείοις προκέλευθος ἡμέρα
ἁπαξάπασα γῆς στρατιαὶ σιδαρέων.

Pollux IX 78: *Βυζαντίων γε μὴν σιδήρῳ νομιζόντων ἦν οὕτω καλούμενος σιδάρεος νόμισμά τι λεπτόν, ὥστε ἀντὶ τοῦ „πρίω μοι τριῶν χαλκῶν" λέγειν „πρίω μοι τριῶν σιδαρέων." ὅθεν καὶ ἐν Στράττιδος Μυρμιδόσιν εἴρηται Ἐν τοῖς βαλανείοις κτλ.* Vs. 1 possis *τοῖσι.* Ibidem *προκέλευθον ἡμέραν* Hemsterhusius explicat *τὴν προκηρυττομένην εἰς τὸ ἐκκλησιάζειν*, et vs. 2 tentat *σιδάρεοι.* Idem sensum fragmenti hunc esse arbitratur: *ita balneis deditos fuisse Byzantios, ut in istis populi celebrarentur comitia, in istis totus simul esset civitatis populus, in istis de expeditionibus consuleretur, et in ipsis denique mercatura exerceretur.* Videant alii. In Pollucis loco vulgo *καλούμενον σιδάρεον* et *πριῶ.*

ΜΗΔΕΙΑ. **)

I.

Καὶ λέγ' ὅτι μύρον αὐτῇ φέρεις
τοιοῦτον, οἷον οὐ Μέγαλλος πώποτε
ἥψησεν, οὐδὲ Δεινίας Αἰγύπτιος
οὔτ' εἶδεν οὔτ' ἐκτήσατο.

Athenaeus XV p. 690 f: *μνημονεύει δ' αὐτοῦ* (Megalli) — *Στράττις ἐν Μηδείᾳ Καὶ λέγ' ὅτι κτλ* Vs. 1 libri *μύρον φέρεις αὐτῇ.* Correxit Iacobsius. Erfurdtius Observ. p. 471: *φέρεις αὐτῇ μύρον.* — Vs. 2 B *Μέγαλος.* — Vs. 3 *Δεινίας* Schweighaeuserus. Libri *Δινίας.* Medeae verba esse fatalia illa

---

*) V. Hist. crit. p. 233. **) V. Hist. crit. p. 232.

dona Creusae mittentis suspicatus sum Quaest. sc. II p. 67 (Hist. crit. p. 232). Monuit postea etiam Dobraeus Adv. II p. 353.

II.

Οἶσθ' ᾧ προσέοικεν, ὦ Κρέων, τὸ βρέγμα σου;
ἐγᾦδα· δείνῳ περὶ κάτω τετραμμένῳ.

Athenaeus XI p. 467 e: *Σέλευκος δ' εἰπὼν ἐκπώματος εἶναι γένος τὸν δεῖνον, παρατίθεται Στράττιδος ἐκ Μηδείας Οἶσθ' ᾧ προσέοικεν κτλ.* Ad *περὶ κάτω* Dindorfius adscripsit verba Photii Lex. p. 418 4. *περὶ κάτω τραπήσεται: ἀντὶ τοῦ περιτραπήσεται κάτω, συνήθως λέγουσιν.* In VL *περικάτω* scriptum est. Pro *τετραμμένῳ* iidem habent *τετρημένῳ.*

III.

Harpocratio p. 130 7 s. v. *Μυσῶν λείαν. κέχρηνται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ καὶ Σιμωνίδης ἐν Ἰάμβοις.*

ΠΟΤΑΜΙΟΙ. *)

I.

Ὑμεῖς τε πάντες ἔξιτ' ἐπὶ τὸ Πύθιον
ὅσοι πάρεστε, μὴ λαβόντες λαμπάδας
μηδ' ἄλλο μηδὲν ἐχόμενον Φιλυλλίου.

Scholiasta Aristophanis Plut. 1195 de facibus in scenam postulatis: *ὁ Λυκόφρων, ὡς ὁ Ἐρατοσθένης φησίν, ᾠήθη πρῶτον τοῦτον* (Aristophanem) *δᾷδας ᾐτηκέναι· πεποίηκε δὲ καὶ ἐν Ἐκκλησιαζούσαις αὐτό. ἀλλὰ γὰρ Στράττις πρὸ ἀμφοτέρων τούτων τοὺς Ποταμίους διδάσκων εἰς*

*) V. Hist. crit. p. 233.

Φιλύλλιον ἀναφέρει τὸ πρᾶγμα Ὑμεῖς τε πάντες κτλ. Videntur haec in ultima fabulae parte posita fuisse. „Pythium Strattidis utrum intelligendum sit Apollinis fanum in urbe, an alterum Oenoae, de quo Philochorus apud schol. Sophoclis Oed. Col. 1041. definire non possum: illud tamen vero videtur similius. Meminit eius Pythii Thucyd. II 15 et VI 54. ubi vide Dukerum, et Isaeus p. 55 14." Hemsterhusius. De Pythio in urbe prope templum Iovis Olympii in tripodum quae dicebatur via sito vide quae affert Schoemannus ad Isaeum p. 311. De Oenoensi Pythio accurate dixit Reisigius ad Sophoclis Oed. Col. 1041. — Vs. 2 πάρεστε ex Veneto receptum a Dindorfio. Ald. πέρ ἐστε.

II.

Photius Lex. p. 224 23. *Λίνον λίνῳ συνάπτες*: ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων· Στράττις ἐν Ποταμίοις. Suidas II p. 449. *λίνῳ λίνῳ συνάπτεις*: ἐπὶ τῶν τὰ ὅμοια ἐπιμιγνύντων ἢ παρακρουομένων καὶ ἀπατώντων· Στράττις Ποταμίοις. Idem II p. 737. *οὐ λίνον λίνῳ συνάπτεις*: ἐπὶ τῶν τὰ αὐτὰ μὴ διὰ τῶν αὐτῶν· οὕτω Στράττις ἐν Ποταμίοις. Ita enim editum ἐν Πολιτείᾳ dudum emendavit Hemsterhusius ad Plut. p. 471. Scholiasta Platonis Bekk. p. 369: παροιμία ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων ἢ δρώντων, ἢ τὰ ὅμοια εἰς φιλίαν συναπτόντων. μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ' τῆς φυσικῆς ἀκροάσεως „οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστί," καὶ Στράττις Παταμίοις καὶ Πλάτων Εὐθυδήμῳ.

III.

Athenaeus VII p. 299 b: Στράττις δ' ἐν Ποταμίοις ἔφη *ἐγχέλεων ἀνεψιός*. Similiter Plato Euthyd. p. 298 c: καὶ σὺ ἄρα ἀδελφὸς εἶ τῶν κωβιῶν, ubi Strattidis verba comparavit Winckelmannus.

ΠΥΤΙΣΟΣ.

Ἐγῷδα τοὐπίνικος ὀργισθεὶς ἔφη,
τῷ στόματι δράσω τοῦθ' ὅπερ χοἰ Λέσβιοι.

Scholiasta Aristoph. Vesp. 1337: *τὸ λεσβίζειν ἐπὶ αἰσχροῦ τάττεται, ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι — Στράττις ἐν Τρωΐλῳ* (Fragm. I) *καὶ ἐν Πυτίσῳ Ἐγῷδα τοὐπίνικος ὀργισθεὶς ἔφη τῷ στόματι δράσω τοῦθ' ὅπερ τοῦ αἰσχροῦ τάττεται.* Ita Venetus; vulgo *ἐγὼ δ' ἅτ' ἐπίνικος*, et vs. 2 *ταῦθ' ἅπερ.* Suspicabar *ἐγὼ δὲ τοὐπίνικος* h. e. *ἐγὼ δέ τοι, Ἐπίνικος* etc. Similem crasin v. apud Cratetem *Θηρ.* II 1. Epinici nomen haud infrequens. Bentleius coniicit *ἐγὼ δ' ἅτ' ἐλπίνικος* etc. quod recepit Dindorfius, qui postrema verba *τοῦ αἰσχροῦ τάττεται*, utpote ex initio scholii repetita delevit. Post *ὅπερ* Flor. Christianus addidit *τοὶ Λέσβιοι*, quod *χοἰ* scribendum fuisse monuit Dobraeus Adv. II p. 204. Fabulae nomen Dindorfius, de quo cfr Hist. crit. p. 233, ex Pausania vel Cinesia corruptum esse suspicatur.

ΤΡΩΙΛΟΣ. *)

I.

Ἧι μήποτ', ὦ παῖ Ζηνός, ἐς ταὐτὸν μόλῃς,
ἀλλὰ παραδοὺς τοῖς Λεσβίοις χαίρειν ἔα.

Scholiasta Aristoph. Vesp. 1337: *τὸ λεσβίζειν ἐπὶ αἰσχροῦ τάττεται, ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι, παρὰ τὸ ἱστορούμενον ὅτι παρὰ τοῖς Λεσβίοις τοῦτο πρῶτον γυνὴ ἔπαθε. — Στράττις ἐν Τρωΐλῳ*

*) V. Hist. crit. p. 233.

Ἦι μήποτ' ὦ παῖ κτλ. Legebatur ἣ pro ᾖ et ταὐτὸ pro ταὐτόν. Correxi Quaest. II p. 68. Idem postea ex Dobraei Adv. II p. 204 prolatum est. εἰς ταὐτὸν μολεῖν dixisse videtur pro συνουσιάζειν.

II.

Ἐρινὸν οὖν τιν' αὐτῆς πλησίον
νενόηκας ὄντα;

Athenaeus III p. 76 e: τὸ δένδρον, ἡ ἀγρία συκῆ ἐξ ἧς τὰ ἐρινά, ἐρινὸς κατὰ τὸ ἄρρεν λέγεται. Στράττις Τρωίλῳ Ἐρινὸν κτλ. Ita Schweighaeuserus pro ἔρινον. V. Arcadius de acc. p. 65 18. Caprificum dicere videtur eam, cuius frequens est in rebus Troicis memoria. V. Iliad. ζ' 433. λ' 167. χ' 145.

ΦΙΛΟΚΤΗΤΗΣ.

I.

Κᾆτ' εἰς ἀγορὰν ἐλθόντες ἁδροὺς
ὀψωνοῖσιν μεγάλους τε φάγρους
καὶ Κωπᾴδων ἁπαλῶν τεμάχη
στρογγυλοπλεύρων.

Athenaeus VII p. 327 e: μνημονεύει δὲ τοῦ φάγρου καὶ Στράττις ἐν Λημνομέδᾳ — καὶ ἐν Φιλοκτήτῃ Κᾆτ' εἰς ἀγοράν κτλ. Vs. 3 ante Dindorfium Κωπαΐδων. — Vs. 4 στρογγυλοπλεύρων Schweighaeuserus pro στρογγυλιπλεύρων.

II.

Οὐδ' ἐν κοπρίᾳ θησαυρὸν ἐκβεβλημένον.

Pollux VII 134: ἀπὸ δὲ τῶν κοπρίων παρὰ τοῖς πλείστοις οἱ βολεῶνες. Στράττις δ' ἐν τῷ Φιλοκτήτῃ φησὶν

Οὐδ' ἐν κοπρίᾳ κτλ. Vulgo *οὐδὲν κόπριον.* Libri *οὐδὲν κοπρία* et *οὐδ' ἐν κοπρίᾳ.* Kuhnius *οὐδ' ἐν κοπρίῳ.*

ΦΟΙΝΙΣΣΑΙ. *)

I.

Παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅταν φακῆν ἕψητε, μὴ 'πιχεῖν μύρον.

Athenaeus IV p. 160 b: *κατὰ τὴν Στράττιδος τοῦ κωμῳδιοποιοῦ Ἰοκάστην ἥτις ἐν ταῖς ἐπιγραφομέναις Φοινίσσαις φησί Παραινέσαι κτλ.* Grotius Excerptis p. 878:

Sapienter admonere vos aliquid volo:
Ne misceant unguenta qui lentem coquunt.

Aristoteles de Sensu p. 443 Ber. *ἀληθὲς γὰρ ὅπερ Εὐριπίδην σκώπτων εἶπε Στράττις ὅταν φακῆν ἕψητε, μὴ ἐπιχεῖν μύρον. οἱ δὲ νῦν μιγνύντες εἰς τὰ πόματα τοιαύτας δυνάμεις βιάζονται τῇ συνηθείᾳ τὴν ἡδονήν. ἕως ἂν ἐκ δύ' αἰσθήσεων γένηται τὸ ἡδὺ ὡς ἓν καὶ ἀπὸ μιᾶς.* Notum est proverbium *τοὐπὶ τῇ φακῇ μύρον* de rebus bonis in re vili consumptis. V. Sopatrum Athenaei l. l. *Ἰθακὸς Ὀδυσσεὺς τοὐπὶ τῇ φακῇ μύρον | πάρεστι.* Cfr Ciceronem ad Att. I 19 et Gellium N. A. XIII 27. Unguenta veteres cibis condiendis atque adeo miscendis vinis (Athen. II p. 66) adhibuisse haud ignotum est. Nec tamen ea res ad omnium palatum erat. Plutarchus V. Caes. cap. 17: *δειπνίζοντος αὐτὸν* (Iul. Caesarem) *ἐν Μεδιολάνῳ ξένου, παραθέντος ἀσπάραγον καὶ μύρον ἀντ' ἐλαίου καταχέαντος, αὐτὸς μὲν ἀφελῶς ἔφαγε, τοῖς δὲ φίλοις δυσχεραίνουσιν ἐπέπληξεν. "Ἤρκει γὰρ (ἔφη) τὸ μὴ χρῆσθαι τοῖς ἀπαρέσκουσιν· ὁ δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων αὐτός ἐστιν ἄγροικος."* Euripidis locus quem parodia lusit Strattis

---

*) V. Hist. crit. p. 233.

est Phoen. 470: *παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·| ὅταν φίλος τις — ὄμματ' ὄμμασιν διδῷ, | ἐφ' οἷσιν ἥκει ταῦτα χρὴ μόνον σκοπεῖν.* Sunt Iocastae verba.

II.

Εἶθ' ἥλιος μὲν πείθεται τοῖς παιδίοις
ὅταν λέγωσιν „ἔξεχ' ὦ φίλ' ἥλιε."

Pollux IX 7: *ἡ δὲ ἔξεχ' ὦ φίλ' ἥλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπότ' ἂν νέφος ἐπιδράμῃ τὸν θεόν. ὅθεν καὶ Στράττις ἐν ταῖς Φοινίσσαις Εἶθ' ἥλιος κτλ.* Verba *ἔξεχ' ὦ φίλ' ἥλιε* omisso auctoris nomine affert Zonaras s. v. *ἐξέχειν.* Haud dubie Iocastae verba sunt, quam Euripides Phoen. 556 haec Eteocli dicentem inducit:

εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
σὺ δ' οὐκ ἀνέξει δωμάτων ἔχειν ἴσον;

Ceterum de ludo illo puerorum vide Aelium Dionysium apud Eustathium ad Iliad. *λ* 733 p. 881 40 et Leopardi Emend. VII 4.

III.

Ξυνίετ' οὐδὲν πᾶσα Θηβαίων πόλις,
οὐδέν ποτ' ἄλλ'· οἳ πρῶτα μὲν τὴν σηπίαν
ὀπισθοτίλαν, ὥς λέγουσ', ὀνομάζετε,
τὸν ἀλεκτρυόνα δ' ὀρτάλιχον, τὸν ἰατρὸν δὲ
σάκταν, βέφυραν τὴν γέφυραν, τῦκα δὲ
τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ' ἄκολον, τὸ γελᾶν δὲ κριδδέμεν,
νεασπάτωτον δ' ἤν τι νεοκάττυτον ᾖ.

Athenaeus XIV p. 621 f: *ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι, Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων Ξυνίετ' οὐδὲν κτλ.* Partem loci ex Athenaeo apposuit Eustathius ad Odyss. p. 1818 2. Vs. 2 *οὐδέν ποτ'*

ἄλλο, nihil aliud h. e. *ita res est.* Theopompus apud Athen. XI p. 471 a: *ἆρ' εἶ κάτοπτρον φύσεος ἣν πλήρης δοθῇς; οὐδέν ποτ' ἄλλο.* — Vs. 3 vulgo *ὀπιτθοτίλαν.* Eustathius *ὀπισθοτίλαν.* Idem C inter lineas. Atque ita Lobeckius Aglaoph. p. 848. Neque aliter Photius Lex. p. 341 19. *Ὀπισθοτείλαν: τὴν σηπίαν οἱ Βοιώτιοι· ὄπισθεν ἀποτιλῶσαν.* Item Hesychius, *Ὀπισθοτίλα: σηπία.* Nec video qua analogia alteram scripturam tueri liceat, nisi quis Boeotios etiam *ἆτθμα* pro *ἆσθμα, πότθων* pro *πόσθων, μάτθλα* pro *μάσθλη* et similia dixisse docuerit. Ibidem libri *λέγουσιν.* — Vs. 4 Lobeckius *ὀρταλιδέα, τὸν ἰατρὸν αὖ σάκταν.* Maltby ad Morelli lex. pros. p. 574: *ὀρτάλιχον, ἰατρόν γε μὴν σάκταν.* Malim *ὀρτάλιχον, ἰατρὸν δὲ δὴ σάκταν.* Certe *ὀρτάλιχον* non sollicitandum videtur. Alioqui possis *ὀρτάλιχα, τὸν ἰατρὸν δὲ δή.* Fortasse plura omisit Athenaeus. — Vs. 5 *σάκταν* interpretatur *saginatorem* Eustathius, *ἀπὸ τοῦ σάττειν.* Quod Photius p. 500 3 tradit *σάκτας* de parte mulieris dici, id rectius scribitur *σάκας,* ut est apud Hesychium. Ibidem *βέφυραν* scripsi pro eo quod codd. habent *βλέφυραν δέ.* VL *φλέφυραν δέ.* — Vs. 7 *δὲ κριδδέμεν* Valcken. Epist. ad Roev. p. LXXVI. Vulgo *δ' ἐκκριδέμεν.* Codices fere *δὲ ἐκκριδαίωμεν.* — Vs. 8 *νεοκάττυτον ᾖ* Schweighaeuserus. *νεοκάττυτον* VL. *νεοκαττυτόνη* A. Pro *νεασπάτωτον* Casaubonus frustra *νεοσπάτωτον.* V. Lobeck. ad Phryn. 661. Ceterum quod Athenaeus Thebanos translatis illis vocabulis novandi studio usos esse scribit, satis redarguit Lobeckius Aglaoph. l. l.

IV.

Erotianus Lex. Hippocr. p. 244. *Λεβηρίδος: ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις.* Hesychius, *Γυμνότερος λεβηρίδος: Ἀριστοφάνης φησί, τυφλότερος λεβηρίδος.* Itaque probabile est eodem similive proverbio etiam Strattin usum esse. Cfr Athenaeus VIII p. 362 b. *σαυτὸν δ' ἀποφαίνεις κενότερον λεβηρίδος.* Adde intpp. Alciphronis III 19.

V.

Pollux X 183: *δεσμῷ δ' ἂν ἐοίκοιεν αἱ στραγγαλίδες, Στράττιδος ἐν Φοινίσσαις εἰπόντος Οὐδὲ σχοινία, οὐδὲ στραγγαλίδες εἰσί.* **Fortasse scribendum** *Οὐ σχοινί' οὐδὲ στραγγαλίδες εἰσίν.*

VI.

Athenaeus XV p. 699 e: *μνημονεύει τῶν γραβίων κο * * * ἐν Φοινίσσαις.* **Schweighaeuserus** *καὶ Στράττις ἐν Φοινίσσαις.* **At Phoenissas docuit etiam Aristophanes.**

Χ Ρ Υ Σ Ι Π Π Ο Σ. *)

I.

Εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,
μηδ' εἰς ἀσωτεῖον τραπέσθαι, μηδ' ἐὰν
αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

Athenaeus IV p. 169 a: *τὸ μὲν ἀσώτιον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ λέγοντι οὕτως Εἰ μηδὲ κτλ.* **Vs. 2 scripsi** *ἀσωτεῖον.* **Libri** *ἀσώτιον.* **Phrynichus Bekk. p. 24, 29.** *Ἀσωτεῖον: σημαίνει τὸν τόπον, ἔνθα οἱ ἄσωτοι διατρίβουσιν.* **Ib.** *μηδ' ἐὰν* **Dindorfius. VL** *μηδέ γ' ἄν.* **BP** *μὴ δ' ἄν.*

II.

Πρόσαγε τὸν πῶλον ἀτρέμα προσλαβὼν
τὸν ἀγωγέα βραχύτερον· οὐχ ὁρᾷς ὅτι
ἔτ' ἄβολός ἐστι;

Pollux X 55: *ἀγωγεύς. ὁ γοῦν Στράττις ἐν Χρυσίππῳ λέγει Πρόσαγε τὸν πῶλον κτλ.* **Respicit hunc locum Phry-**

---

*) V. Hist. crit. p. 233.

nichus Praep. soph. p. 22 21. *Ἀγωγεύς: ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. — Στράττις δὲ τὸν ἵππου ἱμάντα, ᾧ ἐφέλκεται καὶ ἐπάγεται, ἀγωγέα λέγει.* — Vs. 3 addidi *ἔτι*. Possis etiam *ἄβολος ἔτ' ἐστί*, vel cum Toupio Emend. IV p. 387 mutato verborum ordine *ἔστ' ἄβολος*. *ἔτι* requirebat etiam Bentleius Epist. ad Hemsterh. p. 54. Sed minus recte scripsit:

πρόσθ' ἄγε
τὸν πῶλον ἀτρέμα, προσλαβὼν τὸν ἀγωγέα
βραχύτερον· οὐχ ὁρᾷς ὅτ' ἄβολός ἐστ' ἔτι.

Ψ Υ Χ Α Σ Τ Α Ι. *)

I.

Οἶνον γὰρ πιεῖν
οὐδ' ἂν εἷς δέξαιτο θερμόν, ἀλλὰ πολὺ τοὐναντίον
ψυχόμενον ἐν τὸ φρέατι καὶ χιόνι μεμιγμένον.

Athenaeus III p. 124 d: *ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν Στράττις φησὶν ἐν Ψυχασταῖς Οἶνον γὰρ πιεῖν κτλ.* Vs. 2 *οὐδ' ἂν εἷς* AB. *οὐκ ἂν εἷς* V. *οἰκ ἂν εἷς* L. *οὐ γὰρ εἱς* P. — Vs. 3 *καὶ* ante *χιόνι* addidit Porsonus.

II.

Αἱ δ' ἀλεκτρυόνες ἅπασαι
καὶ τὰ χοιρίδια τέθνηκε
καὶ τὰ μίκρ' ὀρνίθια.

Athenaeus IX p. 373 f: *τὸν δ' ἀλεκτρυόνα οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασιν — Στράττις Ψυχασταῖς Αἱ δ' ἀλεκτρυόνες κτλ.* Ex Athenaeo locum apposuit Eustathius ad Iliad. p. 1479.

---

*) V. Hist. crit. p. 234.

III.

Ὁ δέ τις ψυκτῆρ', ὁ δέ τις κύαθον,
χαλκοῦν κλέψας ἀπορῶν κεῖται,
κοτύλη δ' ἀνὰ χοίνικα μάττει.

Athenaeus XI p. 502 e. de poculo *ψυκτὴρ* dicto agens: *Στράττις Ψυχασταῖς Ὁ δέ τις ψυκτῆρα κτλ.* Versu tertio vulgo *κοτυλίδ'*. B *κοτύλη δ'*. Dobraeus Adv. II p. 335 *κοτύλη δ'*, sensum loci hunc esse suspicans: *prae inopia mensuram sui panis adeo contrahit, ut pro quoque choenice tantum cotylen ponat.*

IV.

Σαννυρίωνος σκυτίνην ἐπικουρίαν.

Athenaeus XII p. 551 c. commemorato Aristophanis loco, in quo Sannyrio Meletus et Cinesias propter macilentiam ridentur: *περὶ δὲ τοῦ Σαννυρίωνος καὶ Στράττις ἐν Ψυχασταῖς φησι Σαννυρίωνος σκυτίνην ἐπικουρίαν. περὶ δὲ Μελήτου αὐτὸς ὁ Σαννυρίων ἐν Γέλωτι λέγει οὕτως Μέλητον τὸν ἀπὸ Ληναίου νεκρόν.* Non male Dalecampius *σκυτίνην ἐπικουρίαν* de coriaceo thorace explicat, quo Sannyrio pectus circumdederit, ut firmior esset truncus corporis. Longe alio sensu Aristophanes dixit *σκυτίνην ἐπικουρίαν* Lysistr. 110. Uterque autem alludit ad proverbium *συκίνη ἐπικουρία*, quo infirmum et inutile auxilium significabatur: *σύκινον* enim dicebant quicquid debile esset et ad usum inhabile. Diversa confundit Hesychius, *Σκυτίνη ἐπικουρία: Ἀττικοὶ ἐπὶ ἀσθενούντων βοηθημάτων.* Nisi haec antiquitus in hunc fere modum scripta fuisse coniicias: *Σκυτίνη ἐπικουρία: παρὰ τὴν παροιμίαν συκίνη ἐπικουρία, ᾗ κέχρηνται Ἀττικοὶ ἐπὶ ἀσθενούντων βοηθημάτων.* Cognatum proverbium *συκίνη βακτηρία* habet Alciphro Ep. I 39. Aliter Strattidis versum interpretatus est Th. Bergkius Comment. p. 271, non exilitatem Sannyrionis rideri ratus, sed obscaenum illud spectaculum ab Aristoph. Nub. 534 commemoratum, quod Sannyrio in auxi-

lium vocaverit, ut fabulam suam alioqui casuram populo probaret. Athenaeus tamen Strattidis loco ita usus est, ut Sannyrionis gracilitas in eo indicata esse videatur.

V.

Πῶς ἂν κομίσειέ μοί τις
θυμαλώπων ὧδε μεστὴν ἐσχάραν;

Pollux X 101: *καὶ μὴν ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο, καὶ ἐσχάριον, καί που καὶ ἐσχαρίδα. ὁ δὲ Στράττις ἐν Ψυχασταῖς ἔφη Πῶς ἂν κομίσειέ μοί τις θυμαλώπων ὧδε μεστὴν ἐσχάραν.* In codicibus nec *πῶς ἂν* nec *τις* legi videtur. Proinde scribendum videtur, *κομίσειέ μοι | τάχα θυμαλώπων ὧδε μεστὴν ἐσχάραν*, sc. servus cuius in praecedentibus mentio facta fuerit. Sin codicum fide nituntur verba *πῶς ἂν* et *τις*, malim *πῶς τις ἂν κομίσειέ μοι | τάχα* etc. Maiore molimine Elmsleius ad Aristoph. Ach. 321:

λιβανωτὸν ἔνδοθεν τίς ἂν κομίσειέ μοι,
καὶ θυμαλώπων ὧδε μεστὴν ἐσχάραν;

VI.

Pollux X 127: *θολία πλέγμα τι θολοειδὲς ἐπὶ σκιᾷ, καὶ ῥιπίς, καὶ σκιάδιον, ὃ καὶ σκιάδα ἂν εἴποις· οὕτω γὰρ καὶ τὸ Διονύσου σκιάδιον καλεῖται. καὶ πτερὸν δὲ τὸ σκιάδιον οἱ κωμῳδοποιοὶ καλοῦσιν. ὁ δὲ Στράττις προειπὼν ῥιπίδα ἐπήγαγε εἴτε σκιάδιον.* Id rectius fortasse scribitur *σκιάδειον.* De umbraculis illis docte disseruit Valckenarius ad Adoniaz. p. 343 c. Fallitur haud dubie Pollux *ῥιπὶς* et *σκιάδιον* de eodem instrumento dici ratus; nec *πτερὸν* de umbraculo dici credo, sed potius de *ῥιπίδι flabello.* V. Euripid. Orest. 1427. Achaeus apud Athen. XV p. 690 b et Iacobsius ad Anal. Br. II 3 p. 70. Utrumque coniunxit etiam Dionysius Halic. Antiqu. VII 9 *παιδαγωγοὶ γυναῖκες σκιάδια καὶ ῥιπίδας κομίζουσαι.* Ceterum confer Hist. crit. p. 235.

EX INCERTIS FABULIS.

I.

Πρασοκουρίδες, αἳ καταφύλλους
ἀνὰ κήπους πεντήκοντα ποδῶν
ἴχνεσι βαίνετ᾽ ἐφαπτόμεναι
ποδοῖν σατυριδίων μακροκέρκων
χοροὺς ἑλίσσουσαι παρ᾽ ὠκίμων
πέταλα καὶ θριδακινίδων
εὐόσμων τε σελίνων.

Athenaeus II p. 68 f: *θριδακινίδας δ᾽ εἶπε Στράττις Πρασοκουρίδες κτλ.* Distinxi haec ut certe aliqua metri species appareat. Vs. 1 *καταφύλλους* pro *κατ᾽ εὐφύλλους* debetur Valckenario Diatr. Eurip. p. 231. Quae vs. 4 commemorantur *σατυρίδια* dubito utrum de *satyriscis*, ut existimabam Hist. crit. p. 236, an de caudatorum animalculorum genere intelligam. Priori interpretationi favet dualis *ποδοῖν.*

II.

Ποῖ ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν;
γαληνά, ἐγὼ δ᾽ ᾤμην σε γαλῆν λέγειν ὁρῶ.

Scholiasta Aristoph. Ran. 305: *τοῦτον* (Hegelochum histrionem) *δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει. καὶ Στράττις Ποῖ ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν; γαληνά, ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ.* Scholiasta Euripidis Orest. 269: *Στράττις ἐν Ἀνθρωποῤῥαίστῃ — καὶ ἐν ἄλλοις παίζων φησί Ποῖ ποῖ γαλῆν ὁρῶ, ποῖ ποῖ πρὸς θεῶν, γαλῆν γαληνά.* Fortasse his verbis apud Strattin ipse ille praemissus erat Euripidis versus quem Hegelochus pronunciando corruperat. Itaque locus ita fere scriptus fuisse videtur: ... [illegible]

A. ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν' ὁρῶ.
B. ποῖ ποῖ; φέρ' εἰπὲ πρὸς θεῶν. ποῖ ποῖ γαλῆν;
A. γαλήν'. B. ἐγὼ δ' ᾤμην σε γαλῆν λέγειν ὁρῶ.

Primo versu consulto scripsi *γαλῆν'*. **Ita enim Hegelochus pronunciaverat.**

III.

Οἶνος κοκκύζει τοῖς ὁδοιπόροις πιεῖν
μέλας Σκιάθιος ἴσον ἴσῳ κεκραμένος.

Athenaeus I p. 30 f: *Στράττις δὲ τὸν Σκιάθιον ἐπαινεῖ Οἶνος κοκκύζει κτλ.* **BCD** *κοκκίζει.* **Eustathius ad Odyss. p. 1770 10:** *καὶ μὴν καὶ τὸ Οἶνος δὲ κοκκύζειν τοὺς ὁδοιπόρους ποιεῖ μέλας κτλ. ἔστι δὲ Σκιάθιος μὲν οἶνος ὁ ἀπὸ νήσου Σκιάθου — τὸ δὲ κοκκύζειν κωμικῶς ἀντὶ τοῦ ᾄδειν ἀπὸ τοῦ κόκκυγος.* **Quae quam inepta sint non attinet dicere. Strattis usus esse videtur verbo** *κοχύζειν*, **quod ut cognatum** *κοχυδεῖν* **proprie argutum ebullientis liquoris sonitum exprimit. Hesychius II p. 335 ex incerto poeta affert** *κόχυ δ' ἔρρει*, **idque explicat** *μετὰ ψόφου καὶ λάβρως.* **Ab illo factitio** *κόχυ* (*κοχύ*), **quod compares cum simili** *κόγξ* **(Lobeckius Aglaoph. p. 778 , recte formatur** *κοχύζειν*, **ut a** *γρῦ γρύζειν*, **a** *βρῦ βρύζειν*, **a** *τιτὶ τιτίζειν.*

IV.

Τί ὅτι ὥσπερ οἱ σταδιοδρόμοι προανίστασαι;

Pollux III 146: *τὸ δὲ προεκπηδᾶν προανίστασθαι Στράττις εἶπε Τί ὅτι ὥσπερ οἱ σταδιοδρόμοι προανίστασαι.* **Fortasse scribendum** *τί ποθ' ὥσπερ.*

V.

Τὰ θυγάτρια
περὶ τὴν λεκάνην ἅπαντα περιπεπλιγμένα.

Pollux II 173: *τὸ διαβαίνειν οἱ ποιηταὶ ἀμφιπλίσσειν λέγουσι, καὶ τὸ περιβάδην ἀμφιπλὶξ — διὸ καὶ Στράττις*

Τὰ θυγάτρια — περιπεπλιγμένα, τουτέστι διασχόντα τὰ σκέλη. Ita Camerarius pro *περιπεπληγμένα.* Hesychius, *περιπεπλίχθαι: διηλλαχέναι τὰ σκέλη ἀσχημόνως.*

VI.

Etymol. M. p. 803 47: *φῴζειν σὺν τῷ ῑ σημαίνει τὸ καίεσθαι. Στράττις Ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν ὥσπερ μύστακα σεαυτόν.* Recte Toupius Emend. III p. 193 *καίειν* pro *καίεσθαι.* Zonaras Lex. p. 1838. *φῴζω: τὸ καίω σὺν τῷ ῑ Στράττις Ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν.* Porsonus Append. ad Toupii Emend. p. 506 tentabat, *ἀλλ' εἰ μέλλεις, εὖ κἀνδρείως φῴζειν ὡς μύστακα σαυτόν.* Sed *ὡς* pro *ὥσπερ* vix recte dicitur. Melius igitur Resigius Coniect. p. 313 dimetros restituens:

ἀλλ' εἰ μέλλεις εὖ κἀνδρείως
φῴζειν ὥσπερ μύστακα σαυτόν.

De *εὖ κἀνδρείως* vide quem Porsonus affert Aristoph. Equ. 378 et Vesp. 153. 448. Cfr ad Platonis Fr. p. 653. In nomine *μύστακα* penultimam corripuit etiam Eubulus apud Antiattic. p. 108 28. *Μύστακα: βραχέως. Εὔβουλος Τιτθῇ.* Neque aliter Antiphanes apud Athenaeum IV p. 143 a: *ἀπόλαυε τοῦ ζωμοῦ· φορεῖν τοὺς βύστακας | μὴ καταφρόνει.*

VII.

Hesychius, *Κολεκάνοι: τοῦτο ἐπὶ μήκους σὺν λεπτότητι ἐτάσσετο. Στράττις ἐν τῷ φορτικῷ δραματίῳ τοὺς τι οὐκ ἄξει τις ἔξω τὴν ἀποῦσαν μητέρα τῶν διδύμων κολέκαν λέγων.* Referenda haec videntur ad Cinesiam, cuius fabulae vide Fragm. III et Athenaei locum Fragm. V adscriptum. Fallitur Heinrichius de Epim. p. 196 Cinesiae pusillam staturam tribuens. Corrupta verba exhibui ut leguntur in codice. Pro *κολεκάνοι* rectius fortasse scribitur *κολοκάνοι*, ut alio loco Hesychius, *Κολοκάνοι: εὐμήκεις καὶ λεπτοί.* Quamquam et hoc corruptum videtur. Non inepte suspiceris *κολοκάνναβοι. Κάνναβος*, de quo supra ad Cinesiae Fragm. III dictum est, iam per se gracilitatis

notionem habet; ea augetur etiam si quis cannabo brachiis truncato comparatur. Ipsa poetae verba non expedio.

VIII.

Hesychius, *Βοῦς ἐμβαίνει μέγας. Στράττις εἶπε παρὰ τὴν παροιμίαν τὴν „βοῦς ἐπὶ γλώττῃ."* Aldus operarum errore *ἐμβαίνῃ*. Possis *ἐπεμβαίνει*. Sed latere videtur aliquid quod simile sit verbis *ἐπὶ γλώττῃ*.

IX.

Hesychius, *Κάλχας: Στράττις τὸν ποταμόν φησιν, ὅς ἐστι τῆς Χαλκίδος.* Rectius fuerit *τῆς Χαλκηδονίας* sive malis *Χαλκηδονίδος*. Pro *Κάλχας*, nisi singularem formam usurpavit Strattis, scribendum aut *Κάλχις* (*Καλχὶς*) aut *Καλχηδών*. Arrhianus Eustathii ad Dionys. 803: *ἐπώνυμός ἐστιν ἡ Χαλκηδονίων πόλις τῷ Κρόνου υἱῷ Χαλκηδόνι, ἀφ' οὗ πρῶτα μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη Χαλκηδών.* Stephanus Byz. p. 750: *ἐκλήθη δὲ (ἡ Χαλκηδὼν) ἀπὸ Χάλκιδος τοῦ παρακειμένου ποταμοῦ, ὡς οἱ ἱστορικοὶ ἅπαντές φασι.* Nisi forte etiam hoc ex *Χαλκηδόνος* corruptum est. De formis *Καλχὶς* et *Χαλκίς*, *Καλχηδὼν* et *Χαλκηδὼν* cfr ad Menandrum p. 93 et Bernh. ad Dionys. II 746.

X.

Phrynichus Epit. p. 226. *Γελάσιμον: Στράττιν μέν φασι τὸν κωμῳδοποιὸν εἰρηκέναι τοὔνομα.* V. Lobeckium.

XI.

Zenobius II 93. *Γαλῇ χιτώνιον: ὁμοία ἡ παροιμία αὕτη τῇ „οὐ γαλῇ πρέπει κροκωτόν." ἐπειδὴ γαλῆ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυί μέμνηται ταύτης Στράττις.*

XII.

Zenobius V 35. *Ὁ σκνὶψ ἐν χώρᾳ: ἐπὶ τῶν ταχέως μεταπηδώντων ἡ παροιμία εἴρηται. σκνὶψ γάρ ἐστι θηρίδιον ξυλοφάγον, ἀπὸ τόπου εἰς τόπον μεταπηδῶν. μέμνη-*

ται ταύτης Στράττις. Expectes ἐκ χώρας, ut est apud Photium p. 522. Sed etiam illud recte habet, si per interrogationem efferas, σκνὶψ ἐν χώρᾳ; *quid? iste volaticus homo immobilis remansit?*

XIII. XIV.

Suidas, Δυσόμοια, ἀνόμοια. Στράττις. — Idem Ἀπεμυθήσω: ἀντὶ τοῦ ἀπελογήσω. Στράττις. Eadem habet Grammat. Bekkeri p. 421 14.

XV.

Pollux II 184: καὶ λισπόπυγοι, ἐφ᾽ ᾧ μάλιστα Ἀθηναῖοι κωμῳδοῦνται. τὴν δὲ οὕτως ἔχουσαν διάτραμιν Στράττις ὠνόμασε. De Atheniensibus λισποπύγοις vide ad supra fragmenta Platonis p. 680. Ad διάτραμις conf. Hesychium, Διάτραμις: διεῤῥωγὼς τὸν τράμιν, τὸν ἀπὸ ὀσχέου ἐπὶ τὰ ἰσχία τόπον. Descripsisse videtur Strattis anum cui hiabat *turpis inter aridas nates podex velut crudae bovis* Horat. Epod. VIII 5.

XVI. XVII.

Pollux III 27: ὀνομάζεται δὲ καὶ παρὰ Στράττιδι ἡ πρόγονος. — Idem VI 156: Στράττις τοὺς ὁμήλικας εἴρηκεν ὁμοπτέρους.

XVIII. XIX.

Photius Lex. p. 609 11. Τρῶγες: θηρία τὰ ἐν τοῖς ὀσπρίοις. οὕτως Στράττις. — Idem p. 214 3. Λελεπασμένον: πεπεμμένον. οὕτω Στράττις. Hesychius, Λελεπασμένον: εἰς πέψιν ἧκον. Itaque λεπάζειν idem quod πέπτειν?

XX.

Antiatticista p. 85 7. Βιβάζειν: τὸ ὀχεύειν. Ἀλκαῖος δ᾽ ἐν Καλλιστοῖ ἐπ᾽ ἀνθρώπου ἔφη. Βαίνων (fort. βαίνειν): ἐπὶ ταὐτοῦ. ἐκβῆσαι δέ φασι δεῖν λέγειν καὶ καταβῆσαι, οὐκ ἐκβιβάσαι. Στράττις. Post οὐκ ἐκβιβάσαι supplendum videtur καὶ καταβιβάσαι.

THEOPOMPUS.

(Hist. crit. p. 236 sqq.)

ΑΔΜΗΤΟΣ.

Athenaeus XV p. 690 a: *μνημονεύει δὲ τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.* De Perone unguentario cfr Anaxandridis Protes. II 1. De alio fragmento, quod ad eandem hanc fabulam rettulerunt, infra dixi Fab. inc. VI.

ΑΛΘΑΙΑ. *)

I.

Τὴν οἰκίαν γὰρ εὗρον εἰσελθὼν ὅλην
κίστην γεγοννῖαν φαρμακοπώλου Μεγαρικοῦ.

Pollux X 180: *κίσται οὐ μόνον ὀψοφόροι οὐδὲ ἄλλως ἀγγεῖα εἰς ἐσθήτων ἀπόθεσιν, ἀλλὰ καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο — ὥσπερ που καὶ Θεόπομπος ἐν Ἀλθαίᾳ Τὴν οἰκίαν γὰρ εὗρον κτλ.* Althaeae aedes dicere videtur magicis artibus Meleagri interitum aversurae. De eadem Althaea sequens fragmentum interpretor. De pharmacopolis Megaricis aliunde, quantum memini, nihil constat. Unus liber *μεγειρικοῦ.*

---

*) V. Hist. crit. p. 239.

II.

Λαβοῦσα πλήρη χρυσέαν μεσόμφαλον
φιάλην· Τελέστης δ' ἄκατον ὠνόμαζέ νιν.

Atheuaeus XI p. 501 f de poculo *μεσόμφαλος* dicto disserens: *Ἴων δ' ἐν Ὀμφάλῃ·*

Ἴτ' ἐκφορεῖτε παρθένοι
κύπελλα καὶ μεσομφάλους.

καὶ Θεόπομπος δ' ἐν Ἀλθαίᾳ Λαβοῦσα — ὠνόμαζέ νιν, ὡς τοῦ Τελέστου ἄκατον (libri *ἄκρατον*) *φιάλην ὀνομάζοντος.* Vs. 1 *χρυσέαν* Piersonus ad Moer. p. 413. Libri *χρυσέων.* Secundum versum emendavit Porsonus ad Euripidis Medeam p. 34 Lips. Libri *ἄκρατον ὠνόμαζεν ἵν'.* Respicit Grammaticus Bekkeri Anecd. p. 371 5. *Ἄκατος: φιάλη, διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. οὕτω Θεόπομπος.* De Teleste Selinuntio, dithyramborum auctore haud incelebri, alio loco dicam copiosius.

Α Φ Ρ Ο Δ Ι Σ Ι Α. *)

I.

Ὄνος μὲν ὀγκᾶθ' ὁ Μελιτεὺς Φιλωνίδης.
ὄνῳ μιγείσης μητρὸς ἔβλαστεν πόλει.

Scholiasta Aristophanis Plut. 179: *κωμῳδεῖται δὲ* (Philonides) *ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος. Νικοχάρης Γαλατείᾳ* (Fragm. I) *περὶ δὲ τοῦ μεγέθους Φιλύλλιός φησι* (Fragm. V) *καὶ Πλάτων δὲ Λαΐῳ φησὶν* (Fragm. II) *καὶ Θεόπομπος Ἀφροδισίοις Ὄνος μὲν ὀγκᾶθ' κτλ.* Versus secundus, in quo *ἔβλαστεν πόλει* scripsi (Hist. crit. p. 293) pro *ἔβλαστε τῇ πόλει* **), dubitari potest

*) V. Hist. crit. p. 239. **) De *πόλις* sine articulo Schaef. ad Plut. IV 416.

an continuo post primum versum illatus sit. Th. Bergkius Comment. p. 400 aut ὃς ante ὄνῳ addendum, aut δὲ inter ὄνῳ et μιγείσης inserendum existimat. Idem requirebat ὠγκᾶθ'. Nihil horum necessarium est, si duo fragmenta in unum coaluisse statuas; ac fortasse ante secundum versum excidit καὶ πάλιν. Quod Theopompus et ipsum Philonidem et patrem eius asino comparat, ad stuporem eius orisque turpitudinem potius quam ad corporis magnitudinem referendum esse fortasse recte monuit Bergkius. Nec tamen desunt exempla quae asini convicio inconcinnam corporis magnitudinem designatam esse doceant. V. Hermippi fragm. Pistr .V 3. Cfr Phryn. Praep. soph. p. 54 27. ὀνόγαστρις ἄνθρωπος: ἐπὶ τῶν ἄρρυθμον καὶ μεγάλην γαστέρα ἐχόντων.

II.

'Αλλ' ἔντραγε
τὴν σηπίαν τηνδὶ λαβοῦσα καὶ τοδὶ
τὸ πουλυπόδειον.

Athenaeus VII p. 324 b. de sepia pisce disserens: Θεόπομπος 'Αφροδίτῃ (sic) 'Αλλ' ἔντραγε κτλ. Describi videtur festum Amphidromiorum, quo die sepias et polypos convivantes epulari solebant. Cfr Taylor ad Lysiae Fragm. p. 8.

ΕΙΡΗΝΗ.*)

I.

Ἡμᾶς δ' ἀπαλλαχθέντας ἐπ' ἀγαθαῖς τύχαις
ὀβελισκολυχνίου καὶ ξιφομαχαίρας πικρᾶς.

Pollux X 118: τὸ δὲ ὀβελισκολύχνιον στρατιωτικὸν μέντοι χρῆμα, εἴρηται δὲ ὑπὸ Θεοπόμπου τοῦ κωμικοῦ ἐν Εἰρήνῃ

*) V. Hist. crit. p. 240.

Ἡμᾶς δ' ἀπαλλαχθέντας κτλ. Fallitur Hemsterhusius haec quosdam dixisse ratus, qui nocte fortiter pugnantes fallenteque lumine obeliscolychnii adiuti periculum praesens evasissent. Dicuntur illa potius ab aliquo qui spem pacis animo conceperat. Cfr Hist. crit. p. 240. Respexit hunc locum Athenaeus XV p. 700 e: καὶ τάχα τούτῳ (ξυλολυχνούχῳ) ὅμοιόν ἐστι τὸ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνιον. Ex Athenaeo profecit Eustathius ad Odyss. ή p. 1571 22. Primo versu codd. fere ἐν ἀγαθαῖς.

II.

Ὁ μὲν ἄρτος ἡδύ, τὸ δὲ φενακίζειν προσὸν
ἔμβαμμα τοῖς ἄρτοις πονηρὸν γίγνεται.

Athenaeus IX p. 368 c: οἱ δὲ Ἀττικοὶ καὶ ἔμβαμμα λέγουσιν, ὡς Θεόπομπος ἐν Εἰρήνῃ Ὁ μὲν ἄρτος κτλ. Legebatur ὁ μὲν γὰρ ἄρτος. Emendavit Porsonus. Grotius Excerptis p. 552:

Dulce equidem panis: at cum pani offuciae
Accedunt condimentum, nihil acerbius.

III.

Ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

Athenaeus IX p. 374 b: καὶ Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα λέγων οὕτως Ἄχθομαι κτλ. Scholiasta Aristophanis Nub. 663: οἱ Ἀττικοὶ δὲ καὶ τὰς θηλείας ἐκάλουν, καὶ Θεόπομπος. Conqueri videtur nescio quis de belli incommodis. Similiter apud Aristoph. Ach. 1022 agricola dolet, ἐπετρίβην ἀπολέσας τὼ βόε.

IV.

Μᾶζαι, πλακοῦντες, ἰσχάδες Τιθράσιαι.

Athenaeus XV p. 652 f: Θεόπομπος δ' ἐν Εἰρήνῃ τὰς Τιθρασίας ἐπαινῶν ἰσχάδας φησὶν οὕτως Μᾶζαι κτλ.

V.

Χλαῖναν δέ σοι
λαβὼν παχεῖαν ἐπιβαλῶ Λακωνικήν.

Pollux X 124: *τὴν χλαῖναν δὲ οὕτως ἐκάλουν οἱ τῆς κωμῳδίας ποιηταί, μόνα τὰ παχέα ἱμάτια ταύτης τῆς προσηγορίας ἀξιοῦντες, ὥσπερ καὶ Θεόπομπος ἐν Εἰρήνῃ Χλαῖναν δέ σοι· κτλ.* Particulam *δὲ* addidit Bentleius Epistola ad Hemsterh. p. 64. *λαβὼν* ex cod. Falck. accessit.

VI.

Pollux III 27: *τοῦτον (πατρωὸν vitricum) Ὑπερείδης — μητρυιὸν κέκληκε, καὶ Θεόπομπος ὁ κωμικὸς ἐν Εἰρήνῃ.* Photius p. 268 22. *μητρυῖον* (sic): *Θεόπομπος τὸν πατρυῖον.* Ita Porsonus pro *πατρῶιον*. Rectius scribitur *πατρωόν*. Eustathius ad Iliad. p. 560 14: *καὶ μητρυιὸν οἱ παλαιοί φασι τὸν πατρωόν, ἀρρενωνυμοῦντες τὴν μητρυιάν, καὶ λέγει οὕτω Θεόπομπος, καὶ οἱ κωμικοὶ δὲ μάλιστα κατὰ τοὺς παλαιούς.*

Η Δ Υ Χ Α Ρ Η Σ. *)

I.

Καὶ στῆτ' ἐφεξῆς κεστρέων νῆστις χορός
λαχάνοισιν ὥσπερ χῆνες ἐξενισμένοι.

Athenaeus VII p. 308 a: *Ὑπολαβὼν δὲ Μυρτίλος, καὶ στῆτ' ἐφεξῆς, ἔφη, κατὰ τὸν Θεοπόμπου Ἡδυχάρην, κεστρέων κτλ.* Vs. 1 alii libri *ὦ στῆτ' ἐφεξῆς*, notante Casaubono.

II.

Ἓν γάρ ἐστιν οὐδὲ ἕν,
τὰ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησιν Πλάτων.

---

*) V. Hist. crit. p. 240. 289.

Diogenes Laert. III 26: *Θεόπομπος ἐν Ἡδυχάρει Ἓν γάρ κτλ.* Eadem habet Hesychius Milesius p. 46. sed omisso fabulae titulo. Platonis quem respicit locus est Phaed. § 104: *οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδὲ ὥς, ἐπειδὰν ἑνί τις προσθῇ ἕν, ἢ τὸ ἕν, ᾧ προσετέθη, δύο γέγονεν, ἢ τὸ προστεθὲν καὶ ᾧ προσετέθη, διὰ τὴν πρόσθεσιν τοῦ ἑτέρου τῷ ἑτέρῳ δύο ἐγένετο.* Versu secundo Grotius Excerptis p. 553 *τὼ δύο.* Idem latine transtulit sic: *namque unum est nihil, | duo vero vix sunt unum; sic dictat Plato.*

III.

Φέρε σὺ τὰ καταχύσματα
ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης.
Β. εὖ πάνυ λέγεις.

Scholiasta Aristophanis Plut. 768: *ἁπλῶς τῶν ἐφ᾽ ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο, ὡς καὶ ἐπὶ τοῦ νυμφίου, περὶ τὴν ἑστίαν τὰ τραγήματα κατέχεον εἰς σημεῖον εὐπορίας· ὡς καὶ Θεόπομπός φησιν ἐν Ἡδυχάρει Φέρε σὺ κτλ.* Eadem Suidas s. v. *καταχύσματα,* nisi quod *εὐετηρίας* habet pro *εὐπορίας*, et Theopompi fragmentum verbis *εὖ πάνυ λέγεις* auctum affert, quae utrum Theopompi sint an ex Aristophanis versu 800 irrepserint haud pro certo affirmaverim. Ceterum ad Theopompi locum respexerunt Photius Lex. p. 145 10: *κατεχεῖτο δὲ (τὰ καταχύσματα) καὶ τῶν νυμφίων, φασίν, ὡς Θεόπομπος,* et Harpocratio p. 108, 7: *ὅτι τῶν νεωνήτων οἱ δεσπόται τραγήματα κατέχεον Ἀριστοφάνης ἐν Πλούτῳ δηλοῖ. ὅτι δὲ καὶ τῶν ἀπὸ θεωρίας καὶ τῶν νυμφίων, ὡς Θεόπομπος Ἡδυχάρει.*

IV.

Athenaeus XV p. 690 a: *μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.*

Θ Η Σ Ε Υ Σ.

I.

Ἥξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων
πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη.

Grammaticus Bekkeri p. 323. Ἀβυρτάκη: ὑπότριμμα βαρβαρικὸν ἐκ δριμέων σκευαζόμενον, φημὶ ἐκ καρδάμων καὶ σκορόδων καὶ σινάπεως καὶ σταφίδων, ᾧ πρὸς κοιλιολυσίαν ἐχρῶντο. Θεόπομπος Θησεῖ Ἴξῃ δὲ Μήδων γαῖαν κτλ. Quae ducta sunt ex Aelii Dionysii et Pausaniae Lexicis rhetoricis apud Eustathium ad Odyss. τ' 28 p. 1854 18: οὕτω κεῖται, ὡς ὁ αὐτὸς Διονύσιος λέγει, καὶ παρὰ Θεοπόμπῳ ἀβυρτάκη ὑπότριμμά τι δριμὺ βαρβαρικὸν διὰ πράσων καὶ καρδάμων καὶ κόκκων ῥόας καὶ ἑτέρων τοιούτων. φησὶ γοῦν Ἥξει δὲ Μήδων — ἀβυρτάκη. Παυσανίας δὲ καὶ ἀπὸ σινάπεως καὶ σταφίδων εἶναί φησι τὸ τῆς ἀβυρτάκης ὑπότριμμα, ᾧ καὶ πρὸς κοιλιολυσίαν ἐχρῶντο. Similia leguntur apud Suidam s. v. ἀβυρτάκη, ubi, ut apud Eustathium, ἥξει scribitur, pro quo Grammaticus Bekkeri habet ἴξῃ, quod in ἴξει mutatum commendat Bernhardius. Sed ea forma non utuntur comici. Verum videtur ἥξεις. Γαῖα pro γῇ dixit etiam Sannyrio Γέλωτι Fragm. IV κεραμικὴν γαῖαν στρέφων, et Antiphanes Athenaei X p. 449 b. Antiquiores comici ea forma abstinuerunt. Ceterum recte Bergkius Comment. p. 409. „Finxit in hac fabula Thesea expulsum patria a populari aliquo viro se ad Persas conferre, cui nescio quis praecipit, quod iter sit instituendum." Dobraeus Adv. II p. 318 Thesea ab inferis rediturum compellari ab Hercule existimat.

II.

Athenaeus III p. 82 c: Φαυλίων δὲ μήλων μνημονεύει — καὶ Θεόπομπος ἐν Θησεῖ.

III.

Plutarchus V. Isaei p. 839 f: *μνημονεύει δὲ αὐτοῦ* **(Isaei)** *Θεόπομπος ὁ κωμικὸς ἐν τῷ Θησεῖ.*

IV.

Antiatticista p. 83 6. *αὐτόκακος: οἷον ἑαυτὸν κολάζων. Θεόπομπος Θησεῖ.* **Cfr Bergkii Comment. p. 409.**

ΚΑΛΛΑΙΣΧΡΟΣ. *)

I.

Ἰχθύων δὲ δὴ
ὑπογάστρι' ὦ Δάματερ.

Athenaeus VI p. 302 e: *ὅταν δὲ καὶ Θεόπομπος ἐν Καλλαίσχρῳ λέγῃ Ἰχθύων δὲ δὴ ὑπογάστρι' ὦ Δάματερ, παρατηρητέον ὅτι ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δὲ ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζῴων.* **Libri** *ὑπογάστριον*, **quod correctum ex IX p. 399 d:** *ὑπογάστριον δὲ μόνον ὡς ἐπὶ τῶν ἰχθύων λέγεται. Στράττις Ἀταλάντῃ. Θεόπομπος Καλλαίσχρῳ Ἰχθύων δὲ δὴ ὑπογάστρι' ὦ Δάματερ,* **ubi cod. A** *ὑπογαστριω διαματερ,* **quod vicissim correctum ex libro VI. Pro** *Δάματερ* **libro IX cod. B habet** *Δήμητερ.* **V. Lobeckium ad Phryn. p. 640.**

II.

Ἠρίσταμεν· δεῖ γὰρ συνάπτειν τὸν λόγον.

Athenaeus X p. 423 a: *καὶ ἠρίσταμεν δὲ εἴρηκε — Θεόπομπος Καλλαίσχρῳ Ἠρίσταμεν κτλ.*

III.

Pollux IX 59: *τὰ δὲ στατῆρος ἄξια στατηριαῖα φαίης ἄν, ὡς Θεόπομπος ἐν Καλλαίσχρῳ οὔ φησιν εἶναι τῶν*

---

*) V. Hist. crit. p. 240.

ἑταιρῶν τὰς μέσας στατηριαίας. Scribendum videtur *ἐν Καλλαίσχρῳ πού φησιν εἶναι*, ut X 108 *ὥσπερ που καὶ Θεόπομπος ἐν Ἀλθαίᾳ.* Nisi forte hic Theopompi versus fuit:

Οὔ φασιν εἶναι τῶν ἑταιρῶν τὰς μέσας
στατηριαίας.

Quae de urbe dicta videntur, in qua meretrices magno pretio noctes vendebant, ut vel mediocres (*μέσαι*) statera exigerent. Stater fere Laidos pretium fuit. V. Epicrates Antilaid. II 12 et 17.

Κ Α Π Η Λ Ι Δ Ε Σ.

I.

Λεωτροφίδης ὁ τρίμετρος ὡς Λεόντινος
εὔχρως τε φᾶναι καὶ χαρίεις ὥσπερ νεκρός.

Pollux VII 26: — καὶ ζωμεῦσαι· καὶ Ἀριστοφάνης· *Τὴν χύτραν κτλ.* Legebatur ἕψειν, correxit Dobraeus ad Plut. v. 227.

XXXVII.

Ἀνήσεις κροκύδα μαστιγουμένην.

Pollux VII 64: *Καὶ κροκὺς δὲ μέρος ἐσθῆτος.* — Ἀριστοφάνης δὲ *Ἀνήσεις κτλ.* Vulgo ἂν ἔσω. ἀνήσεις cod. Falckenb. ἀνήσω Brunckius.

XXXVIII.

Ἀλλὰ τὸ στρόφιον λυθὲν
τὰ κάρυά μοὐξέπιπτεν.

Pollux VII 67: Τὸ γυναικεῖον ζώνιον — στρόφιον ὠνόμαζον, ὡς Ἀριστοφάνης *Ἀλλὰ τὸ στρόφιον κτλ.*

XXXIX.

Πλὴν εἴ τις πρίαιτο δεόμενος
βασκάνιον ἐπὶ κάμινον ἀνδρὸς χαλκέως.

Pollux VII 108: *Πρὸ δὲ τῶν καμίνων τοῖς χαλκεῦσιν ἔθος ἦν γελοῖά τινα καταρτᾶν ἢ ἐπιπλάττειν ἐπὶ φθόνου ἀποτροπῇ. ἐκαλεῖτο δὲ βασκάνια, ὡς καὶ Ἀριστοφάνης ἔφη· Πλὴν εἴ τις κτλ* Vs. 1 fortasse addendum: *Οὐκ οἶδα, πλὴν κτλ.* — Vs. 2 βασκάνιον cod. Falckenb., vulgo βασκανίου. Cfr Phrynichus in Bekkeri Anecd. I p. 30 5: *Βασκάνιον· ὃ οἱ ἀμαθεῖς προβασκάνιον· ἔστι δέ τι ἀνθρωποειδὲς κατασκεύασμα, βραχὺ παρηλλαγμένον τὴν ἀνθρωπείαν φύσιν· ὃ πρὸ τῶν ἐργαστηρίων οἱ χειρώνακτες κρεμαννύουσι τοῦ μὴ βασκαίνεσθαι αὐτῶν τὴν ἐργασίαν.*

XL.

Ὥστ' ἀνακῦπτον καὶ κατακῦπτον τοῦ σχήματος οὕνεκα τοῦδε
κηλώνειον τοῖς κηπουροῖς.

Pollux VII 143: *Τῶν δὲ τοῖς κηπουροῖς ὑπηρετούντων ἐστὶ καὶ τὸ κηλώνειον· οὐ μόνον γὰρ Ἡρόδοτος μνημονεύει, ἀλλὰ καὶ Ἀριστοφάνης· Ὥστ' ἀνακύπτων καὶ κατακύπτων τ. σχ. εἵνεκα τοῦ δὲ κηλωνείου τοῖς κηπωροῖς.* At nulla his inest apta sententia, itaque scripsi *ὥστ' ἀνακῦπτον καὶ κατακῦπτον κηλώνειον.* et *κηλώνειον* cod. A, *κηλώνιον* cod. Iungerm. idem recte *τοῖς κηπουροῖς* exhibet. Deinde Dindorfius *οὕνεκα* restituit. Verba autem interposita *τοῦ σχήματος οὕνεκα τοῦδε* non ad comparationem pertinent, sed (liberior enim est orationis conformatio, ut in eiusmodi locis fieri solet) pertinet, ut coniicio, ad choreutas, fuitque hoc fragmentum, ut coniicio, ex Danaidibus petitum. Ceterum comparat Hemsterhusius Basilium Epistol. anthol. p. 11: *Οὐκ ἐῶν ἀνανεύειν καὶ κατανεύειν ὥσπερ τὰ κηλώνεια τοὺς ὀφθαλμοὺς τῶν ἀναγιγνωσκόντων.*

XLI.

Pollux VII 162: *Λεπρᾶν κεράμιον ὀξηρὸν ἀντὶ τοῦ μυδᾶν Ἀριστοφάνης λέγει.* Idem VII 164: *κεράμιον ὀξηρὸν* ex Aristophane memorat.

XLII.

Κιρνάντες γὰρ τὴν πόλιν ἡμῶν κοτυλίζετε τοῖσι πένησιν.

Pollux VII 195: *Ἴδιον δ' ἂν εἴη (τὸ κοτυλίζειν) τῶν τὸν οἶνον πιπρασκόντων· καὶ Φερεκράτης μὲν εἴρηκε — Ἀριστοφάνης δέ· Κιρνάντες κτλ.* Ad Babylonios referunt Dindorfius et Fritzschius, ut haec de viris popularibus dicta sint, qui publicas opes temere profundant.

XLIII.

Οὐκ εἶ λαβὼν θύραζε τὰ ψηφίσματα
καὶ τὴν ἀνάγκην ἐς κόρακας ἐντευθενί;

Pollux VIII 17: *Ἔνιοι δὲ οἴονται καὶ ἀνάγκην σκεῦος εἶναι δικαστικὸν εἰπόντος Ἀριστοφάνους· Οὐκ εἶ κτλ.* Vs. 1 vulgo *οὐκ ἴῃ*, correxit Porsonus Advers. p. 282. — Vs. 2 vulgo *ἐντεῦθεν. ἐντευθενὶ* Iungermannus.

XLIV.

Εἰκοβολοῦντες καὶ πλάττοντες.

Pollux IX 154: *Ἐφ' οὗ εἴποις ἂν ἀμφιβάλλειν — ἐπὶ τούτου δὲ ἴσως καὶ τὸ εἰκοβολεῖν, Ἀριστοφάνους εἰπόντος· Εἰκοβ. κτλ.*

XLV.

Τὸ παραπέτασμα, τὸ Κύπριον, τὸ ποικίλον.

Pollux X 32: *Παραπέτασμα — πολύχρουν, ἐφ' οὗ Ἀριστοφάνης ἂν εἴποι· Τὸ παραπέτασμα κτλ.*

XLVI. XLVII.

Ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται.

Ὥστ' ἔγωγ' ηὐαινόμην
θεώμενος.

Suidas: *Αὐαίνεται· ξηραίνεται. — ἡ πρώτη δασύνεται. καὶ Ἀριστοφάνης· Ἐνταῦθα δὴ κτλ. καὶ ἑτέρωθι Ὥστ' ἔγωγ' κτλ.*

XLVIII.

Τὴν φάρυγα μηλῶν δύο δραχμὰς ἕξει μόνας.

Photius p. 266 16 et Suidas: *Μηλῶσαι· τὸ καθεῖναί τι εἰς βάθος. καὶ τὴν φάρυγγα μηλῶσαι τὸ διαχρῖσαι (διαχρῆσαι* **Photius**) *τῷ δακτύλῳ. Ἀριστοφάνης· Τὴν* (**Suidas** *τὸν*) *φάρυγγα μηλῶσαι δύο δρ. κτλ.* **Correxit Porsonus.**

XLIX.

Τὸ πρᾶγμα τοῦτο συλλαβεῖν ὑπίσχομαι.

Photius p. 460 3 et Suidas: *Πρόσισχε τὸ πρόσεχε. — οὕτως δὲ καὶ ὑπίσχομαι τὸ ὑπισχνοῦμαι οἵ τε τραγικοὶ καὶ Ἀριστοφάνης· Τὸ πρᾶγμα κτλ.*

L.

Ἔφευγε, κἀγὼ τῆς ὑπαντὰξ εἰχόμην.

Eustathius p. 1442 3: *Ὑπαντάξ, οὗ μέμνηται Αἴλιος Διονύσιος λέγων ὡς δηλοῖ τὸ ἐξ ἐναντίας, φέρων εἰς χρῆσιν ἐξ Ἀριστοφάνους Ἔφευγε κτλ.*

LI.

Οὔκουν μ' ἐάσεις ἀναμετρήσασθαι τάδε;

Phrynichus in Bekkeri Anecd. I p. 57 14: *Οὐκοῦν· — παροξυνόμενον — ποτὲ δὲ καθ' ὑπέρθεσιν, οὔκουν ἐάσεις. οὐκ ἐάσεις οὖν. καὶ παρ' Ἀριστοφάνει Οὔκουν μ' ἐάσεις κτλ. ἀντὶ τοῦ οὐκ ἐάσεις οὖν με.*

LII.

Ἐγὼ δ' ὑπερῶ τὸν ὅρκον.

Ammonius v. *ὑπάγειν* **p. 140 ed. Valckenaer:** *Οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν — ὥς φησι καὶ Ἀριστοφάνης· Ἐγὼ δ' ὑπ. τ. ὅρκον ἀντὶ τοῦ προερῶ.*

LIII. LIV.

Εἴ τις κολακεύει περιιὼν καὶ τὰς κροκύδας ἀφαιρῶν.

Grammaticus in Bekkeri Anecd. I p. 468 19 et Suidas: *Ἀφαιρεῖν κροκύδας. ἐπὶ τῶν πάντα ποιούντων ἕνεκα κολακείας, ἄλλοι τε χρῶνται καὶ Ἀριστοφάνης· Εἴ τις κολακεύει παρὼν κτλ.* **Correxi** *περιιών.* **Suidas** *κροκίδας.* **confer Phrynich. Bekkeri I p. 4 27:** *Ἀφαιρεῖν κροκύδας· λίαν ἠττίκισται· καὶ τίθεται ἐπὶ τῶν πάντα ποιούντων διὰ κολακείαν, ὥστε καὶ παρεπομένους ἀφαιρεῖν κροκύδας τῆς ἐσθῆτος ἢ κάρφος τι τῆς κεφαλῆς ἢ τοῦ γενείου. ὁ δὲ Ἀριστοφάνης ἀφαιρεῖ τρίχας φησὶν ἐπί τινος κολακεύειν ἐπιχειροῦντος,* **qui quidem grammaticus neque hoc, neque Holcadum fragm. XI, sed aliud ignotum respexisse videtur.**

LV.

Δεξιὸν εἰς ὑποδήματ', ἀριστερὸν εἰς ποδάνιπτρα.

Suidas v. *Δεξιόν· Δεξιὸν εἰς ὑπόδημα, ἀρ. εἰς ποδανίπτραν. Ἀριστοφάνης· ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων.* **Proverbium aliquanto emendatius exhibet Helladius in Photii Bibl. p. 533 B ed. Bekk.:** *Ὅτι παροιμίαν εἶναί φησι τὸν δεξιὸν πόδα ὑποδεῖσθαι, τὸν δ' ἀριστερὸν*

νίζειν· φησὶ γὰρ ὁ Πολέμων, ὡς μαρτυρεῖ Δίδυμος, δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα. Aristophanes fortasse non ipsum hanc proverbii formam usurpavit, sed sententiam aliter conformatam exhibuit: fortasse autem de Theramene, cuius ingenium quam maxime fuit mobile, haec dixit.

LVI.

Ὑπὸ τοῦ γέλωτος εἰς Γέλαν ἀφίξομαι.

Plutarchus compar. Aristoph. et Menandri c. 1, ubi *ὑπὸ γέλωτος εἰς τὸ γελᾷν ἀφ.* legitur, quod correxi. Compares Acharnens. v. 606: *Τοὺς δ' ἐν Καμαρίνῃ κἀν Γέλᾳ κἀν Καταγέλᾳ.*

LVII.

Τί δῆτα δράσω σ', ὦ κακόδαιμον, ἀμφορεὺς
ἐξοστρακισθείς;

Plutarchus compar. Aristoph. et Menandri c. 1: *Τί δέ σοι δράσω κακόδαιμον κτλ.* Correxi haec in Comm. p. 261.

LVIII.

Σύ δ' ὁμέστιος θεοῖς; πόθεν;

Moschopulus apud Ritschl. ad Thomam M. p. 274 16: *Πόθεν — σημαίνει τὸ οὐδαμῶς, ὡς τὸ Ἀριστοφάνους· Σὺ δ' ὁμέστιος κτλ.*

LIX.

Ἐξηκεστίδης ἔχων λύραν,
ἔργον Εὐδόξου, τιταίνει ψίθυρον εὐήθη νόμον.

Scholiasta Aristoph. Avv. v. 11 postquam de Execestide citharoedo egit, haec addit: *ἔστι δὲ καὶ ἕτερος „ἔχων λύραν ἔργον Εὐδόξου, τιταίνει ψίθυρον εὐήθη νόμον." μέμνηται δὲ αὐτοῦ καὶ Πολέμων ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθήνησιν Ἐρατοσθένους ἐπιδημίας λέγων· Ὁ δὲ Ἐξηκεστίδης κιθαρῳδὸς Πυθιονίκης, νικᾷ δὲ καὶ τὸν τῶν Καρνείων ἀγῶνα τὸν ἐν Λακεδαίμονι καὶ Παναθήναια δίς.* Atqui in istis versibus manifesto ille ipse citharoedus perstringitur,

neque omnino doctus ille grammaticus duos diversos eiusdem nominis homines finxit, sed librariorum is est error scribendumque ἔτι δὲ καὶ ἐν ἑτέροις (Ἐξηκεστίδης) ἔχων λύραν, nam Execestidis nomen necessario requiritur: itaque ille ex alia quadam comoedia Aristophanis huius ipsius citharoedi memoriam instaurare voluit: plerumque sane dicitur ἐν ἄλλοις, sed etiam hoc alterum usitatum, ut est in scholiasta Equitt. v. 129: Δηλοῖ δὲ τὸν Εὐκράτη καὶ τὴν ἐπ᾽ αὐτοῦ πολιτείαν, ὃς στύππαξ ἐκαλεῖτο, διὰ τὸ στυππειοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις, ubi itidem alium Aristophanis locum significavit.

LX.

Χωρεῖ 'πὶ γραμμὴν λορδὸς ὡς εἰς ἐμβολήν.

Galenus ad Hippocrat. περὶ ἀγμῶν XII p. 161 ed. Charter: *Καὶ παρὰ τοῖς κωμικοῖς δὲ τὰ προτεινόμενα τοῦ σώματος, ὡς εἰς ἐμβολὴν παρεσκευάσθαι λέγων, καθότι καὶ ὁ Ἀριστοφάνης ἐδήλωσεν εἰπών· Χωρεῖ 'πὶ κτλ.* Legebatur εἰς ἐμβαλῆ, quod correxit Dindorfius, firmatque emendationem ipse Galenus.

LXI.

Ὃς τὰ μὲν ἀφανῆ μεριμνᾷ, τὰ δὲ χαμᾶθεν ἐσθίει.

Achilles Tatius Isagoge in Arat. p. 121 ed. Petav. Legebatur ὃς τὰ φανῆ, quod correxi. Videtur autem poeta haec de Socrate vel alio quodam philosopho dixisse: conferas Eupolidis Adulatores Fr. X: *Ἔνδοθι μέν ἐστι Πρωταγόρας ὁ Τήιος, Ἀλαζονεύεται μὲν ἀλιτήριος Περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει.*

LXII.

Οὐχ ὅ τι ἐκεῖνος ἔλαχεν. οἰμώζων κάθου.

Zonaras II p. 1168: *Κάθου καὶ κάθησο· ἀμφότερα Ἑλληνικά· Ἀριστοφάνης· οὐχ ὅ τι ἐκεῖνος ἔλαχεν. οἰμώζων κάθου.* Fortasse ἔλαχον legendum. Meinekius II 1 p. 231 οὐχ ὅπερ corrigit.

LXIII.

Ὁ δ' ἔχων θέρμα καὶ
πῦρ ἧκε.

Pollux IV 186: *Θέρμα καὶ πῦρ Ἀριστοφάνης ἔφη· Ὁ δ' ἔχον θέρμα καὶ πῦρ.* At *ἧκε* addit cod. Falckenb. *ἔχων* necessario requiritur. De voce *θέρμα* cfr. Ruhnken. ad Timaeum p. 139 sqq. quamquam fortasse Aristophanes scripsit: *Ὁ δ' ἔχων θέρμην καὶ πῦρ ἧκεν.*

LXIV.

Σὺ δ' οὐκ ἀνεῖχες αὐτὸν ὥσπερ εἰκὸς ἦν.

Grammaticus Bekkeri Anecd. I p. 400 9 et Favor. in Aldi Hortis Adon. p. 16 A: *Ἀνέχειν· — λέγεται ἀνέχειν καὶ τὸ κωλύειν. — καὶ Ἀριστοφάνης· Σὺ δ' οὐκ κτλ.*

LXV.

Οὕτως τι τἀπόρρητα δρᾶν ἐτημέλει.

Grammaticus Bekkeri Anecd. I p. 434 5 et Suidas v. *ἀπόρρητα. Ἀπόρρητα πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα ἐν τοῖς νόμοις λέγουσιν Ἀριστοφάνης Οὕτως τι κτλ.* Legebatur *ἐστι μέλει*, Dindorfius *ἐστιν μέλον.* Scripsi quod iam alii coniecerunt *ἐτημέλει.* Apud Suidam *ἔτι μέλλει* scribitur.

LXVI.

Γίγνωσκε τὸν ἄλεισόν τε καὶ τὰ γράμματα.

Etymolog. M. p. 61 17: *Ἄλεισον· λέγεται ἀρσενικῶς, οἷον Γίνωσκε τὸν ἄλ. καὶ τὰ γρ. Ἀριστοφάνης. ἔστι δὲ εἶδος ποτηρίου.* Correxit Porson. in Advers. p. 282. Poeta autem loqui videtur de poculo, quod *γραμματικὸν* dici solebat, vid. Athenaeus XI p. 284 B: *Γραμματικὸν ἔκπωμα, τὰ γράμματα ἔχον ἐγκεχαραγμένα· Ἄλεξις· Τὴν ὄψιν εἴπω τοῦ ποτηρίου γέ σοι Πρώτιστον· ἦν γὰρ στρογγύλον, μικρὸν πάνυ, Παλαιόν, ὦτα συντεθλασμένον σφόδρα, Ἔχον κύκλῳ τὰ γράμματα.* Sic enim lego. Adde Eubulum ibid.

p. 467 C: *Μισῶ κάκιστον γραμματικὸν ἔκπωμ' ἀεί.* Eiusmodi vasculum videtur esse, quod Agyllae repertum descripsit Lepsius in Annal. Instit. Archaeol. Rom. VIII p. 186 sq. ubi *ΒΙΒΑΒΥΒΕ ΓΙΓΑΓΥΓΕ* et similia leguntur.

LXVII.

Ὁρῶ γὰρ ὡς ὄμφακα διασαυλούμενον.

Etymol. M. p. 270 45: *Διασαυλούμενος· ἁβρυνόμενος καὶ διαθρυπτόμενος, παρὰ τὸν σαῦλον τὸν τρυφερὸν καὶ γαῦρον. — Ὁρῶ κτλ. Ἀριστοφάνης.* Zonaras I p. 539 eadem exhibet, sed poetae nomine omisso, estque ibi *σαυλούμενον.* Hesychius: *Διασαυλούμενον· διακινούμενον καὶ ἐναβρυνόμενον ἢ διασειόμενον.*

LXVIII. LXIX.

Καταντιβολεῖτον αὐτὸν ὑποπεπτωκότες.

Ἐκβαίνετον τὸν πατέρα τοῖς ὀρχήμασι.

Etymol. M. p. 280 28: *Διώκετον· ὅτι οἱ Ἀττικοὶ καὶ ἐν τοῖς τρισὶ προσώποις τῶν δυϊκῶν τοῖς δυϊκοῖς χρῶνται, ὡς Ἀριστοφάνης Καταντιβολεῖτον κτλ.* Seiunxi haec, sunt enim prorsus diversa fragmenta, quod fugit Dindorfium, qui comparavit Vesp. v. 975, qui locus prorsus alienus. Alter autem versus fortasse de Carcini filiis, de quibus vid. Meineke I p. 515 sqq. intelligendus est.

LXX.

Καὶ τῶν πρὸς εἵλην ἰχθύων ὠπτημένων.

Etymol. M. p. 298 53: *Εἵλη· σημαίνει τὴν θερμασίαν ἐκ τοῦ ἕλη πλεονασμῷ τοῦ ι, ὡς παρὰ Ἀριστοφάνει Καὶ τῶν κτλ.*

LXXI.

Ἴκτινα παντόφθαλμον ἅρπαγα τρέφων.

Etymol. M. p. 470 34: *Ἰκτῖνα· — Πλάτων δὲ προπαροξυτόνως λέγει, ὡς παρὰ Ἀριστοφάνει Ἴκτινα κτλ.* Eadem Choeroboscus apud Bekkerum in annotatione ad Ety-

mol. M. p. 901, ubi *ἅρπαγας τρέφων* legitur; coniicias igitur *ἅρπαγα στρέφων*.

LXXII.

Οἶμαι γὰρ αὐτὸν κόλλοπι
ἐοικέναι.

Etymol. M. p. 526 20: *Κόλλοπες· — ἐλέγετο δὲ καὶ τὸ νωτιαῖον δέρμα διὰ τὸ τὴν κόλλαν ἐξ αὐτοῦ γίνεσθαι. ὅθεν Ἀριστοφάνης τὴν σκληρότητα Αἰσχύλου ἐνδεικνύμενος ἔφη Οἶμαι γὰρ κτλ.* Referendum puto ad Gerytadem.

LXXIII.

Α. Ποῖ κῆχος; Β. εἰθὺ Σικελίας.

Etymol. M. p. 682 15: *Ποῖ κῆχος· — καὶ Ἀριστοφάνης.* Vulgo *εὐθύς.* Correxit Valckenarius Animadv. in Ammonium p. 91.

LXXIV.

Μέλαινα δεινὴ γλῶσσα Βρεττία παρῆν.

Stephanus Byz. *Βρέττος· πόλις Τυρρηνῶν, ἀπὸ Βρέττου τοῦ Ἡρακλέους καὶ Βαλητίας τῆς Βαλήτου· οἱ οἰκοῦντες Βρέττιοι, καὶ ἡ χώρα Βρεττία, καὶ ἡ γλῶσσα. Ἀριστοφάνης Μέλαινα κτλ.* Pertinet huc Hesychii glossa: *Βρεττία· μέλαινα, ἢ βάρβαρος, ἀπὸ τοῦ Βρεττίων ἔθνους.* Cfr. Etymol. M. p. 213 8.

LXXV.

Ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι.

Eustathius p. 73 extr. *Κατὰ δὲ Ἡρωδιανὸν καὶ τάριχος ἑκατέρως λέγεται. τὸ τάριχος γὰρ καὶ ὁ τάριχος. — Ἀριστοφάνης Ἐπὶ τῷ ταρίχει κτλ. ὁ αὐτὸς Τάριχον τοῦτον πλύνω.* Fritzschius hunc versum ad Daetalenses refert p. 108, et simul eodem alium versum, qui vulgo Chionidis est apud Athen. III p. 119 E. qui quidem versus Menandro potius tribuendus; lego enim: *ἡ δὲ δοτικὴ ταρίχει, ὡς ξίφει. Μένανδρος Ἐπιτρέπουσιν Ἐπὶ τῷ ταρίχει τῷδε τοίνυν κοπτέον· καὶ ἐπὶ αἰτιατικῆς· Ἐπέπασα κτλ.*

LXXVI. LXXVII.

Οὕτω γὰρ ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη.
Ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβος.

Eustathius p. 959 41: *Τὸ δὲ σῶς εὕρηται, φασί, καὶ θηλυκῶς. Ἀριστοφάνης Οὕτω παρ' ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη. λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί, παρ' οἷς καὶ σᾶ ἡ σώα. Ἀριστοφάνης Ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβος.* **Philemo in v.** *σῷος* **similia exhibet. Vs. 1 cum Dobraeo Adv. II p. 257 corrigendum** *γὰρ* **pro** *παρ'*, **estque hic versus fortasse ad Daetalenses referendus; vid. Fr. XXII.**

LXXVIII.

Ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον.

Eustathius p. 1166 51: *Χιτώνιον — λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελὲς — Ἀριστοφάνης Ἐνδὺς κτλ.*

LXXIX.

Ἑστῶτας ὥσπερ τοὺς ὀρεωκόμους ἄθρους.

Eustathius p. 1387 4: *Ἐν δὲ τοῖς ῥητορικοῖς λεξικοῖς φέρεται καὶ ταῦτα· ἐκ τοῦ ἀθρόος γίνεται ἄθρους. — καὶ Ἀριστοφάνης Ἑστῶτας κτλ.*

LXXX.

Πόθεν δ' ἐγώ σοι συγγενὴς ὦ φαρμακέ;

Eustathius p. 1415 62: *Ὁ δὲ φαρμακὸς ἤτοι τὸ κάθαρμα. — Ἀριστοφάνης Πόθεν δ' ἐγώ σοι κτλ.*

LXXXI.

Ἄκων κτενῶ σ', ὦ τέκνον, ὁ δ' οὖν ὑπεκρίνετο,
ἐπὶ Παλλαδίῳ τἄρ', ὦ πάτερ, δώσεις δίκην.

Eustathius p. 1419 52: *Καὶ δικαστήριον ἱστοροῦσιν Ἀθήνησιν ἐπώνυμον τῆς Παλλάδος. Ἀριστοφάνης Ἄκων κτλ. ἐδίκαζον δὲ κατὰ Παυσανίαν ἐκεῖ ἀκουσίους φόνους οἱ ἐφέ-*

ται. Vs. 1 legebatur *κτενῶ σε τέκνον, ὁ δ' ὑπεκρίνετο,* ultimaque illo grammatico tribuit Dindorfius, quod parum veri est simile. Correxi haec inserta particula *οὖν*. — Vs. 2 vulgo *παρ' ᾧ*, emendavit Elmsleius ad Acharn. 323.

LXXXII.

Καὶ κύων ἀκράχολος
Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι.

Eustathius p. 1467 35: *Ἑκάτης ἀγάλματα αἱ κύνες. ταύτῃ γάρ φησι θύονται· ἣν καὶ κυνοπρόσωπον διαπλάττονται. Ἀριστοφάνης Καὶ κύων κτλ.* Grammaticus in Bekkeri Anecd. I p. 327 13: *Ἀγάλματα Ἑκάτης· αἱ κύνες. θύονται γὰρ αὐτῇ.* Idem p. 336 31: *Ἄγαλμα Ἑκάτης· τὴν κύνα οὕτως εἴρηκεν Ἀριστοφάνης διὰ τὸ ἐκφέρεσθαι τῇ Ἑκάτῃ κύνας, ἢ ὅτι καὶ αὐτὴν κυνοκέφαλον πλάττουσιν.* Recte autem Porsonus comparavit Euripidis versum apud Plutarchum de Iside et Osiri p. 379 D:

Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσει.

LXXXIII.

Ψελλόν ἐστι καὶ καλεῖ
τὴν ἄρκτον ἄρτον, τὴν δὲ Τυρὼ τροφαλίδα,
τὸ δ' ἄστυ σῦκα.

Eustathius p. 1535 20: *Εἰ δὲ τοῦ ἄρκτου ὑπεξαιρεθέντος τοῦ τ, ὡς εἴρηται, οὐ γέγονε σημασίας ἐναλλαγή, οὐ μὴν οὐδὲ γελοιασμός, ἀλλ' ὁ κωμικὸς τὸ κάππα ἐξελὼν γέλωτα ἐκίνησεν εἰπὼν οὕτω· Ψελλὸν κτλ. ταῦτα δὲ τί δηλοῖ περιττόν ἐστι φράσαι. ἀρκεῖ δὲ μόνον ἐπισημήνασθαι ὡς οὐ ψελλὰ τὰ εἰρημένα κυρίως, εἰ μή τις πᾶν παιδίον μὴ σαφῶς διαλεγόμενον ψελλίζεσθαι λέγει, ὁποῖόν τι καὶ Αἰσχύλος* (Prometh. v. 844) *φαίνεται δηλοῦν ἐν τῷ Ψελλόν τι καὶ δυσεύρετον.* Vs. 2 vulgo *τροφαλλίδα*, correxit Dindorfius.

LXXXIV.

Εἶτα δὴ
εἰς τὴν πόλιν ἄξεις τήνδε τὴν ὀνώνιδα;

Eustathius p. 1788 20: *Ἐκ τοῦ Ὁμηρικοῦ ὤνου παρὰ τοῖς ὕστερον ἡ ὠνή. — εἰ δὲ ἀπ' αὐτῆς παρῆκται καὶ ἡ παρὰ τῷ κωμικῷ ὄνωνις, ἧς χρῆσις φέρεται παρὰ τοῖς τεχνικοῖς τό Εἶτα δὴ κτλ. οὐκ ἔστι βεβαίως ἀπισχυρίσασθαι. ὄνομα δὲ βοτάνης ἡ ὄνωνις, δι' ἧς ἐπ' ἀλογίᾳ ἴσως ὁ κωμικός τινα σκώπτει καὶ ῥᾳθυμίᾳ, ὡς τοῦ ὄνου καὶ νωθροῦ ὄντος, καθὰ καὶ ἡ Ἰλιὰς οἶδε, καὶ παροιμιάζοντος τό τε ἀπ' ὄνου πεσεῖν τινα* (Nub. v. 1255) *καὶ τοὺς ὄνου πόκους, οὓς ὁ κωμικὸς* (Ran. v. 186) *εἰς πόκας παρῴδησε.* Legebatur *εἰς πόλιν*, correxit Dindorfius. Rettuli hoc fragmentum inter Aristophanis reliquias, cum Eustathius hoc ipso loco simul duos alios versus Aristophaneos ex Nubibus et ex Ranis respexerit: sed reliqua, quae veteres grammatici comici nomine servaverunt fragmenta, quae quidem Dindorfius recepit, rursus segregavi.

LXXXV.

Λίθος τις ὤζησεν τεθυμιαμένος.

Theognostus in Bekkeri Anecd. p. 1403 et in Crameri Anecd. II p. 142 20: *Ὀζέσω· τὸ ὄζω ἐνίοτε καὶ περισπωμένως λέγεται, ἐξ οὗ καὶ ὁ μέλλων ὀζέσω, ἀλλὰ καὶ ὀζήσω διὰ τοῦ η, ὡς καὶ Ἀριστοφάνης· Λίθος τις ὄζησεν κτλ.* Emendavit Dindorfius.

LXXXVI.

Ὤιμην δ' ἐγὼ τὸν Κυκλοβόρον καθιέναι.

Scholiasta Equitum v. 137: *Ποταμὸς τῆς Ἀττικῆς χειμάρρους ὁ Κυκλοβόρος ὑπὸ Ἀθηναίων χωσθείς. τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. καὶ ἀλλαχοῦ· Ὤιμην κτλ.* Legebatur *κατιέναι*, quod cor-

rexi. Videntur autem haec quoque ad Cleonis vociferationem referenda esse; fortasse ad Holcades pertinet hic versus.

LXXXVII.

Καὶ σὺ κυρηβιοπῶλα
Εὔκρατες στύππαξ.

Scholiasta Equitum v. 254: *Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων· ἔνθα αἱ κάγχρυς φρύγονται. κάγχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαὶ ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερωτέρως φησὶ Καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες στύπαξ.* Scripsi *στύππαξ*, vid. ibid. ad v. 129: *στυππειοπώλης· ὁ τὰ στυππεῖα πωλῶν, τουτέστι καννάβινα, λινᾶ. δηλοῖ δὲ τὸν Εὐκράτη καὶ τὴν ἐπ' αὐτοῦ πολιτείαν, ὃς στύππαξ ἐκαλεῖτο διὰ τὸ στυππιοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις.*

LXXXVIII.

Ἐβάδιζέ μοι τὸ μειράκιον ἐξ ἀποτρόχων.

Scholiasta Euripidis Medeae v. 46: *Ἐκ τρόχων· βαρυτόνως ὡς νόμων. Ἀριστοφάνης Βαδίζει μοι κτλ. ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας.* Correxit Elmsleius ad Med. p. 85.

LXXXIX.

Καὶ στρεψίμαλλος τὴν τέχνην Εὐριπίδης.

Scholiasta Ranarum v. 787: *Τῶν ἀντιλογιῶν· παρίστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους σαπρόν. καὶ ἐν ἄλλοις Στρεψίμελος τὴν τέχνην Εὐριπίδης.* Recte Dindorfius *στρεψίμαλλος.* Eustathius p. 1638 17: *Στρεψιμάλλους ἐκάλουν οἱ παλαιοὶ τοὺς περιλαλοῦντας καὶ κακοσχόλως φράζοντας, λαβόντες τὸ σκῶμμα ἀπὸ ἐρίων συνεστραμμένους μαλλοὺς ἐχόντων καὶ οὕτω δυσλύτων.* Addidi praeterea *καί.*

XC.

Οὔτε νύκτωρ παύεται
οὔθ' ἡμέραν.

Priscianus XVIII vol. II p. 222 ed. Krehl.: „Attici *μεθ' ἡμέραν* ponunt per se et *νύκτωρ καὶ ἡμέραν. Ἀριστοφάνης· Οὔτε νύκτωρ κτλ.* Idem Priscianus ibid. p. 190 itidem Aristophanis nomen memorat, at quae ibi leguntur, nullo pacto possunt a comico poeta profecta esse.

XCI.

Καὶ πρός γε τούτοις ἥκετον πρέσβη δύο.

Iohannes Alexandrinus p. 14 24: *Τὰ δύο εε εἰς η συναιροῦσιν Ἀθηναῖοι. — Καὶ πρός γε τούτοις κτλ.* Aristophanis versum esse docet Choeroboscus in Bekkeri Anecd. III p. 1247: *Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ πρέσβη παρὰ τοῖς ῥήτορσι βαρυτόνως ἀναγινώσκεται ὡς ἀπὸ τοῦ πρέσβυς, πρέσβεος, πρέσβεε, πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως· Ἥκετον πρεσβῆ δύο. ὡς ἀπ' εὐθείας ὀξυτόνου, οἷον ὡς ἀπὸ τοῦ πρεσβεύς, τοῦ πρεσβέος, τὼ πρεσβέε, τὼ πρεσβῆ.*

XCII.

Σφοδελὸν ἐν χύτραισι μεγάλαις ἑψόμενον.

Grammaticus in Crameri Anecd. I p. 264 20: *ἀφαιρέσει τοῦ ᾱ, ὡς καὶ παρὰ Ἀριστοφάνει Σφοδελὸν κτλ.*

XCIII.

Ἑκτεὺς δέ γ' ἐστὶν ἑξαχοίνικον μέτρον.

Erotianus p. 178 ed. Franz: *ἡμιεκτέα] τὸ ἥμισυ τοῦ ἑκτέως. ἑκτεὺς δὲ λέγεται ἀττικὸν μέτρον, ἔχον χοίνικας ὀκτώ. — Ἀριστοφάνης Ἑκτεὺς δέ ἐστιν κτλ.* Scripsi *δέ γ' ἐστίν,* et quod codex praebet *ἑξαχοίνικον.* At vero hecteus octo erat choenicum, vid. Boeckhium Metrolog. p. 200 sqq. itaque comicus praeter morem luserit in re ficta necesse est. Cfr. Fritzsch. ad Thesmoph. p. 602.

XCIV.

Plutarchus de Musica p. 1146 ed. Steph.: *Καὶ Ἀριστοφάνης ὁ κωμικὸς μνημονεύει τοῦ Φιλοξένου καί φησιν, ὅτι εἰς τοὺς κυκλίους χοροὺς μέλη εἰσηνέγκατο*

καὶ ἄλλοι δὲ κωμῳδοποιοὶ ἔδειξαν τὴν ἀτοπίαν τῶν μετὰ ταῦτα τὴν μουσικὴν κατακεκερματικότων. Summam tantum sententiae, quam Aristophanes proposuit, Plutarchus exhibet; nam illi versus, qui subsequuntur, quos vulgo Aristophani tribuunt, Pherecratis sunt, vid. Meineke II 1 p. 332 sqq.

XCV.

Scholiasta Pacis v. 1081: *Διακαννιάσαι· — καῦνον τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις Πόσος ἔσθ' ὁ καῦνος;*

XCVI.

Ἀλοᾶν χρὴ τὰς γνάθους.

Grammaticus Bekkeri p. 384 3: *Ἀλοῶν· ἀντὶ τοῦ περιάγων, ὡς οἱ ἀλοῶντες βόες. οὕτως Ἀριστοφάνης Ἀλοᾶν κτλ.*

XCVII.

Φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.

Grammaticus Bekkeri p. 398 26: *Ἀνέρριπται κύβος· οἷον ἀποκεκινδύνευται. Ἀριστοφάνης Φράζε τοίνυν κτλ.* Eadem Suidas, sed poetae nomine omisso in v. *ἀνέρριπτον.*

XCVIII.

Διάλεκτον ἔχοντα μέσην πόλεως
οὔτ' ἀστείαν ὑποθηλυτέραν
οὔτ' ἀνελεύθερον ὑπαγροικοτέραν.

Sextus Empir. adv. grammat. I 10 p. 264: *Πολλαὶ γάρ, φασὶν (οἱ γραμματικοὶ), εἰσὶ συνήθειαι, καὶ ἄλλη μὲν Ἀθηναίων, ἄλλη δὲ Λακεδαιμονίων. καὶ πάλιν Ἀθηναίων διαφέρουσα μὲν ἡ παλαιά, ἐξηλλαγμένη δὲ ἡ νῦν. καὶ οὐχ ἡ αὐτὴ μὲν τῶν κατὰ τὴν ἀγροικίαν, ἡ αὐτὴ δὲ τῶν ἐν ἄστει διατριβόντων. παρ' ὃ καὶ ὁ κωμικὸς λέγει Ἀριστοφάνης Διάλεκτον κτλ.*

XCIX.

Δύναται γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν.

Clemens Alex. Strom. VI p. 749: *Ἡροδότου ἐν τῷ περὶ*

Γλαύκου τοῦ Σπαρτιάτου λόγῳ (VI 86) *φήσαντος τὴν Πυθίαν εἰπεῖν τό τε ῥηθῆναι τοῦ θεοῦ καὶ τὸ ποιῆσαι ἴσον γενέσθαι Ἀριστοφάνης ἔφη Δύναται κτλ.*

C.

Ἀλλ' εἰς ἥρων τι παρήμαρτον.

Scholiasta Iliad. N. 428: *Ἥρων τινὲς Ἀττικῶς· Ἀλλ' εἰς ἥρων τι παρ. Ἀριστοφάνης.*

CI.

Σικύους ἐνθάδε πη φυομένους οὐδενὶ κόσμῳ περιόντες, κᾆτ' ἤσθιον.

Scholiasta Acharnens. v. 519: *Σίκυον· ἀπὸ τῆς εὐθείας ὁ σίκυος. καὶ ἀλλαχοῦ Σικύους κτλ.* Legebatur *ἐνταῦθά πη περιιόντες κατήσθιον*, quae recte videtur Dindorfius correxisse.

CII.

Αὐτὸς δείξας ἔν θ' ἁρμονίαις χιάζων ἢ σιφνιάζων.

Suidas: *Χιάζειν· Πραξιδάμας Δημόκριτον τὸν Χῖον καὶ Θεοξενίδην τὸν Σίφνιον πρώτους ἐπὶ χρώματος τάξαι τὴν ἰδίαν ποίησιν, ὡς Σωκράτης ἐν τοῖς πρὸς Εἰδόθεον, ὡς παρ' Ἀριστοφάνει τεταγμένον. ὑποτείνει δέ τις αὐτὸν βωμολοχεῦσαι Αὐτὸς δείξας κτλ.* Legebatur apud Suidam vulgo: *Ἰσοκράτης ἐν τοῖς πρὸς Εἰδοθέαν*, quae correxit Meinekius ad Euphorionem p. 175. Sed sequentia quoque satis perturbata et corrupta sunt: perturbatio autem inde orta, quod duo diversi loci temere sunt confusi, unus ex Nubibus v. 970: *εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειεν κτλ.* alter ex incerta aliqua fabula petitus, ad quem pertinet hic ipse anapaestus. Ceterum cfr. Pollux IV 65: *Τὸ μέντοι σιφνιάζειν καὶ χιάζειν τὸ περιέργοις μέλεσι χρῆσθαι ἀπὸ Δημοκρίτου τοῦ Χίου καὶ Φιλοξένου τοῦ Σιφνίου.* In poetae verbis *θ'* particulam addidit Toupius Emend. II p. 378.

CIII.

Οὐκ ἔσται, κενέβρειον ὅταν θύσῃς τι, καλεῖν με.

Erotianus p. 204: *Κενέβρεια· τὰ νεκριμαῖα κρέα οὕτω καλοῦνται, ὡς καὶ Ἀριστοφάνης Οὐκ ἔσθ᾽ ὃ κενέβρειον ὅταν θύῃς τί, καλεῖ με.* Scholiasta Avium v. 538: *Κενεβρείων· τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν. Οὐκ ἔσται κενέβριον ὅταν θύσῃ.* Correxit Dindorfius, nisi quod scripsit *θύσῃ*. Ceterum Atticistae minus probabant usum huius vocabuli, vide Phrynichum Bekk. Anecd. I p. 43 17: *Θνησείδιον μᾶλλον ῥητέον ἢ κενέβριον (κενέβρειον).*

CIV.

Τί γὰρ ἐπὶ κακότροπον ἐμόλετον βίον
ἀδικομηχάνῳ τέχνῃ;

Grammaticus Bekkeri p. 343 21: *Ἀδικομήχανος· Ἀριστοφάνης Τί γὰρ κτλ.*

CV.

Τίς ὄρεα βαθύκομα τάδ᾽ ἐπέσυτο βροτῶν.

Hephaestio p. 48 ed. Gaisf.: *Τὸ προκελευσματικὸν ὑπ᾽ ἐνίων καλούμενον, οἷον τὸ τετράμετρον τοῦτο τὸ Ἀριστοφάνειον Τίς ὄρεα κτλ.*

CVI.

Ῥήματά τε κομψὰ καὶ παίγνι᾽ ἐπιδεικνύναι
πάντ᾽ ἀπ᾽ ἀκροφυσίων κἀπὸ κιναβευμάτων.

Suidas et Grammaticus Bekkeri p. 415 29: *Ἀπ᾽ ἀκροφυσίων λόγους ἐνδεικνύναι· οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης Ῥήματά τε κτλ.* Legebatur *καὶ τῶν ἀπὸ κινναβευμάτων.* Quod correxit Brunckius: ceterum conferas Photium p. 166 3: *Κιναβευμάτων· πονηρευμάτων*, et Hesychium: *Κιναβεύματα· πανουργήματα.* Pertinet autem hic locus sine dubio ad Thesmophoriazusas II, vid. Fr. XVI.

CVII.

Θύτην μέλλει καὶ κελεύει βῆ λέγειν.

Antiatticista p. 86 3: *Βῆ· προβάτων βληχή. Ἀριστο-*

φάνης Θύτην μέλλει κτλ. Meinekius II 1 p. 40 et Dindorfius coniecerunt: *Θύειν με μέλλει καὶ κελεύει βῆ λέγειν.* Ego aliquando suspicatus sum legendum esse: *Ἀτημελεῖ μου καὶ κελεύει βῆ λέγειν.*

CVIII.

Athenaei epitome I p. 30 B: *Γίνεται δὲ ἐν Ἰκάρῳ, φησὶν Ἐπαρχίδης, ὁ Πράμνιος. ἔστι δὲ οὗτος γένος τι οἴνου. καὶ ἔστιν οὗτος οὔτε γλυκὺς οὔτε παχύς, ἀλλ' αὐστηρὸς καὶ σκληρὸς καὶ δύναμιν ἔχων διαφέρουσαν, οἵῳ Ἀριστοφάνης οὐχ ἥδεσθαι Ἀθηναίους φησὶ λέγων τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς ἥδεσθαι σκληροῖς καὶ ἀστεμφέσιν οὔτε Πραμνίοις σκληροῖσιν οἴνοις συνάγουσι τὰς ὀφρῦς τε καὶ τὴν κοιλίαν, ἀλλ' ἀνθοσμίᾳ καὶ πέπονι νεκταροσταγεῖ.* In tetrametros trochaicos redegi supra ad Thesmophor. II Fr. II.

CIX.

Athenaei epitome XI p. 1127 ed. Dind.: *Ἐκαλεῖτο δὲ καὶ τὸ ἑταιρικὸν συνευωχούμενον φιλοτήσιον. Ἀριστοφάνης Ἑπτάπους γοῦν ἡ σκιά 'στιν ἡ 'πὶ τὸ δεῖπνον· ὡς ἤδη καλεῖ μ' ὁ χορὸς ὁ φιλοτήσιος.* Libri *χρόος*, quod emendavit Casaubonus. Nescio an ita locus sit constituendas:

Ἑπτάπους γοῦν ἡ σκιά 'στιν· * * * * * *
ἐπὶ τὸ δεῖπνον ὡς καλεῖ δή μ' ὁ χορὸς ὁ φιλοτήσιος.

Videtur autem hic locus ad Daetalenses pertinere: *σκιὰ* fortasse ex hoc loco sumptum explicuit Hesychius.

CX.

Aristides I p. 87 19: *Ὃ δέ φησιν Ἀριστοφάνης περὶ Αἰσχύλου σκότον εἶναι τεθνηκότος, τοῦτ' ἄξιον καὶ περὶ τούτου (Ἀλεξάνδρου τοῦ Κοτυαέως) νῦν εἰπεῖν εἰς παιδείας λόγον.* Dindorfius probabiliter ad Gerytadem refert.

CXI.

Plutarchus in vita decem oratorum p. 836 E: *Ἰσοκρά-*

της Θεοδώρου μὲν ἦν παῖς τοῦ ἀρχιερέως — θεράποντας αὐλοποιοὺς κεκτημένου καὶ εὐπορήσαντος ἀπὸ τούτων — ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπὸ Ἀριστοφάνους καὶ Στράττιδος.

CXII.

Hesychius: *Ἄανθα· εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι ἢ* (*καὶ* **Alberti**) *Ἀριστοφάνει.* **Mihi quidem glossa illa satis dubia videtur.**

CXIII.

Zenobius Proverb. I, 1: *Ἀβυδηνὸν ἐπιφόρημα· — εἴρηται δὲ ἡ παροιμία καὶ ἀπὸ τοῦ ὑπ' αὐτῶν* (*Ἀβυδηνῶν*) *συκοφαντεῖσθαι τοὺς ξένους. ἔνθεν Ἀριστοφάνης τὸν συκοφάντην Ἀβυδηνοκώμην εἶπεν.* **Dindorfius** *Ἀβυδοκόμην.* **vid. Grammaticus in Bekkeri Anecd. I p. 215 6:** *καὶ Ἀβυδοκόμης ὁ ἐπὶ τῷ συκοφαντεῖν κομῶν· τοιοῦτοι γὰρ οἱ Ἀβυδηνοί.* **Adde ibid. p. 322 31 et Hesychium v.** *Ἄβυδον.*

CXIV.

Suidas in *ἀγκύρισμα, Ἔστι δὲ ἀγκύρισμα καὶ σκεῦος ἀγρευτικὸν σύκων. Ἀριστοφάνης* **Kusterus docuit grammaticum temere** *ἀγκύρισμα* **cum** *ἄγκυρα* **commiscuisse, vide Hesychium:** *Ἄγκυρα· ἐν ᾗ τὰ σῦκα λαμβάνουσιν.*

CXV. CXVI.

Pollux II 108: *Ἀριστοφάνης δὲ ἄγλωττον τὸν εἰπεῖν ἀδύνατον ἔφη.* — **Idem III 48:** *Ἀριστοφάνης δὲ ἄγυνον τὸν ἀγύνην.*

CXVII.

Photius p. 7 20: *Ἀγῶνα· τὴν συναγωγήν. οὕτως Ἀριστοφάνης.*

CXVIII.

Eustathius p. 1854 12: *Ἦν δὲ καὶ ἄδδιξ μέτρον τι, φασί, τετραχοίνικον. Ἀριστοφάνης Ἀλφίτων μελάνων ἄδδιχα.* **Photius p. 8 6 et Grammaticus Bekkeri Anecd. I p. 342 26:** *Ἄδδιξ· μέτρον τετραχοίνικον. οὕτως Ἀριστοφάνης.* **Hesychius:** *Ἄδδιξις· μέτρον τετραχοίνης.*

CXIX.

Photius p. 9 21: *Ἀδηφάγοι·* ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο, ὡς Ἀριστοφάνης καὶ Φερεκράτης.

CXX.

Grammaticus Bekkeri p. 346 1: *Ἀδώνιος* Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀριστοφάνης καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις. Vid. Meineke II 1 p. 694.

CXXI.

Grammaticus Bekkeri p. 348 2: *Ἀείταν·* τὸν ἑταῖρον. Ἀριστοφάνης δὲ τὸν ἐρώμενον. Dindorfius ἀΐταν.

CXXII.

Pollux III 140: Ἀθλοθεσία, ἢ ὡς Ἀριστοφάνης *ἀθλοθετία*.

CXXIII.

Phrynichus Bekkeri p. 6 2: *Ἀκύμων θάλασσα·* Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾶν τέθεικεν, ὡσανεὶ ἄγονον. ὡσαύτως καὶ Ἀριστοφάνης.

CXXIV.

Grammaticus Bekkeri p. 382 17: *Ἀλειφόβιον* (codex ἀλειφοίβιον)· τὸν περὶ παλαίστρας ἀναστρεφόμενον καὶ ὑπηρετοῦντα. οὕτως Ἀριστοφάνης. Hesychius: Ἀλειφοβίους· πένητας. Fritzschius Ἀλειφοσίβιον legit.

CXXV.

Pollux II 150: Ἀριστοφάνης δὲ *ἀμεταχειρίστων τῶν κοινῶν* εἶπεν.

CXXVI.

Harpocratio p. 35 ed. Bekker in nota: *Ἀναβιών·* ἀντὶ τοῦ ἀναβιώσας. Πλάτων Σκευαῖς· Ἀναβιὼν ἐκ τῆς νόσου. καὶ Ἀριστοφάνης.

CXXVII.

Favorinus in Aldi Hortis Adonidis p. 15 B: *Ἀναζυγῶσαι· τὸ τὰς θύρας ἀναπετάσαι. Ἀριστοφάνης Τὴν θύραν ἀναζυγώσας.* Adde Etymol. M. p. 96 22: *Ἀναζυγῶσαι — τὸ θύρας ἀναπετάσαι Ἀριστοφάνης.* Pollux X 26: *Παρὰ δὲ τοῖς κωμῳδοῖς τὸ ἀναζυγῶσαι ταυτὸν τῷ ἀνοῖξαι σημαίνει.*

CXXVIII.

Suidas: *Ἀνασηκῶσαι· ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν, ὥσπερ οἱ ἱστάντες. οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀριστοφάνης.*

CXXIX.

Grammaticus in Bekkeri Anecd. I p. 401 18: *Ἀνεψιάδαι (Ἀνεψιαδαῖ) Ἀριστοφάνης καὶ ἀνεψιαδοῦς, Φερεκράτης καὶ Ἕρμιππος ἀνεψιαδοῦν.*

CXXX.

Pollux II 228: *Ἀνοητία, ἄνοια, ἐπίνοια, πρόνοια — καὶ ἀνοησία, ὡς Ἀριστοφάνης.* Dindorfius Aristophanem potius *ἀνοητίαν* dixisse arbitratur.

CXXXI.

Zonaras I p. 258: *Ἀπαίροντες· μεθιστάμενοι, οὕτως Ἀριστοφάνης.* Cfr. Phrynichum Bekkeri I p. 6 16: *Ἀπαίρειν· τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης.*

CXXXII.

Suidas: *Ἀπεσκοτωμένα· ἐσκιαγραφημένα, κεχρωσμένα· τὰς γὰρ χρίσεις σκότη καλοῦσι ζωγράφοι· οὕτως Ἀριστοφάνης.* Idem eundem locum respexit alio loco: *Ἐσκιοτροφημένα· Ἀριστοφάνης ἀπόμακτρα σκυτάλων ἐσκιοτροφημένα.* Sed graviter erravit, quod *ἐσκιοτροφημένα* scripsit pro *ἐσκιογραφημένα.* Et ne hoc quidem ab Aristophane fuit profectum, sed *ἀπεσκοτωμένα*, ut ex superiore

loco apparet. Adde Grammaticum Bekk. Anecd. I p. 431 26 et ipsum Suidam: *Ἀπόμακτρα σκυτάλων ἀπεσκοτημένα δ᾽ ἐσκιοτραφημένα.* Cfr. etiam Hesychium v. *ἀπεσκοτωμένα* et Eustath. p. 935 53. Recte vero Dindorfius: „Vera loci scriptura haec est, *Ἀπόμακτρα· σκύταλα. ἀπεσκοτωμένα δέ, ἐσκιαγραφημένα.* Poetae enim, verba fuerunt *ἀπόμακτρ᾽ ἀπεσκοτωμένα,* quorum interpretationes ex scholiasta de more exscripsit Suidas."

CXXXIII.

Pollux VII 22: *Καὶ ἀρτοστροφεῖν δὲ Ἀριστοφάνης λέγει, διαπλάσαι, πέψαι, ὀπτῆσαι κτλ.* Sed codex Iungerm. (ad cuius lectionem prope accedit cod. A): *Καὶ ἀρτοστροφεῖν δέ, διαπλάσαι δὲ ὡς Ἀριστοφάνης,* ut dubium sit, quid ex Aristophane Pollux afferat.

CXXXIV.

Phrynichus Bekkeri p. 10 9: *Ἀσπάλαθος· ἀκανθῶδες φυτόν. Κλέανδρος θηλυκῶς, Ἀριστοφάνης ἀρσενικῶς.*

CXXXV.

Phrynichus Bekkeri p. 13 19: *Αὔεσθαι πῦρ καὶ ἐναύεσθαι. Ἀριστοφάνης αὐόμενος, Κρατῖνος ἐναύεσθαι.*

CXXXVI.

Hesychius: *Ἀφορμή· ἡ νῦν ἐνθήκη λεγομένη. Ἀριστοφάνης Μέλλει δὲ πέμπειν τοὺς εἰς ἀφορμήν, ἢ πρόφασις, ἢ αἰτία.*

CXXXVII.

Macrobius Saturnal. III 8: „Apud Calvum Aeterianus affirmat legendum *Pollentemque deum Venerem*, non *deam:* signum etiam eius est Cypri barbatum corpore et veste muliebri cum sceptro ac statura virili, et putant eandem marem ac feminam esse: Aristophanes eam *Ἀφρόδιτον* appellat." Cfr. Servius ad Virgil. Aen. II 32 et Grammaticus in Bekk. Anecd. I p. 472 24: *Ἀφρόδιτος· ὁ Ἑρμαφρόδιτος. παραπλήσιοι δὲ τούτῳ ἄλλοι δαίμονες, Ὀρθάνης,*

Πρίαπος. - Hesychius: *Ἀφρόδιτος· Θεόφραστος μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς Παίων εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει.*

CXXXVIII.

Phrynichus Bekkeri p. 13 28: *Ἀψευδοῦντες· Ἀριστοφάνης.*

CXXXIX.

Grammaticus in Bekkeri Anecd. I p. 476 10: *Ἀωρί, ἀωρίᾳ· τὸ παρὰ τὸν προσήκοντα καιρὸν καὶ τὴν ὥραν. — Ἀριστοφάνης δὲ ἔφη καὶ ἀωρὶ θανάτῳ ἀπέθανεν.* Ingeniose Dindorfius coniecit Aristophanem *ἀωροθάνατος ἀπέθανεν* dixisse. Phrynichus ibidem p. 24 22: *Ἀωροθάνατος· ὁ πρὸ τῆς καθηκούσης ὥρας ἀποθανὼν ἀνὴρ καὶ γυνή.*

CXL.

Scholiasta Theocriti I 132: *Ἡ βάτος θηλυκῶς λέγεται· ὁμοίως ἐνταῦθα καὶ ἡ νάρκισσος. παρὰ δὲ τῷ Ἀριστοφάνει ἀρσενικῶς λέγεται.* *Βάτος* videtur poeta masculino genere dixisse.

CXLI.

Pollux IV 63: *Καὶ τὰ ῥήματα λυρίζειν κιθαρίζειν ψάλλειν καί, ὡς Ἀριστοφάνης, βαρβιτίζειν.*

CXLII.

Etymol. M. p. 194 31: *Βέλεκοι· ὄσπρια. Καὶ τῶν βελέκων Ἀριστοφάνης.* Sic recte Dindorfius, vulgo *βελέκκων*. Pertinet autem fortasse ad Holcades. Ceterum conferas Suidam: *Βέλεκος· ὄσπριον. ἔοικε δὲ τοῖς λαθύροις.* Corrupte Hesychius: *Βέλλεκυς· ὄσπριόν τι ἐμφερὲς λαθύρῳ, μέγεθος ἐρεβίνθου ἔχον.*

CXLIII. CXLIV.

Pollux VII 210: *Παρὰ Ἀριστοφάνει βιβλιδάριον.* — Idem VII 187: *Ἀριστοφάνης καὶ βοηλατεῖν καὶ ὀνηλατεῖν εἶπε.*

CXLV.

Etymol. M. p. 214 44: *Βρόταχος·* τὸν βάτραχον Ἴωνις, καὶ Ἀριστοφάνης, καὶ παρὰ Ξενοφάνει. βάτραχος, καὶ καθ' ὑπερβιβασμὸν βράταχος καὶ βρόταχος. Aristophanes an *βρόταχον* dixerit valde dubito. Meinekius corrigit Ἀρχίλοχος.

CXLVI.

Thomas Mag. *Βοῦς* — λέγεται ἐπὶ εὐθείας τῶν πληθυντικῶν βόες, εἰ καὶ Ἀριστοφάνης ἅπαξ βοῦς εἶπεν.

CXLVII.

Pollux VII 141: Καὶ *βωλοκοπεῖν* δὲ Ἀριστοφάνης εἴρηκεν.

CXLVIII.

Phrynichus Bekkeri Anecd. I p. 31 27: *Γαλῆν καταπέπωκεν·* Ἀριστοφάνης. ἐπί τινος νέου μὴ δυναμένου φθέγξασθαι. χρήσαιο δ' ἂν καὶ αὐτὸς ἐπὶ παντὸς τοῦ μὴ φθεγγομένου.

CXLIX.

Etymol. M. p. 229 40: *Γεισίποδες·* παρὰ τὸ εἶναι βάσεις τῶν θεμελίων. καὶ γεισῶσαι καὶ γείσωσις τὸ τῆς γῆς ἔκθεμα. Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου *γεῖσα* εἶπε. Adde Grammaticus in Bekkeri Anecd. I p. 231 2: Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου *γείσας* εἶπε.

CL.

Pollux II 13: *Γερόντειαι παλαῖστραι* παρὰ Ἀριστοφάνει. Dubium tamen an sit Aristophanis, cum in cod. Falckenb. legatur παρὰ Ἀντιφάνει.

CLI.

Scholiasta Luciani II p. 913 et Lexicon apud Osann. Auctar. Lex. p. 47: *Γέρρα·* — καὶ Ἀριστοφάνης ὡς ἐπὶ φυλακῆς τινος καὶ μοχλοῦ τροπικῶς παρέλαβε τὴν λέξιν.

CLII.

Zonaras I p. 451: *Γρίσσων* (vel *Γρίσων*) ὁ χοῖρος καὶ ὄνομα δρομέως παρ' Ἀριστοφάνει. Hesychius Γρισ-

σῶν, ἵς· Ἀριστοφάνης δὲ ὄνομα δρομέως νενικηκότος ἐν Ὀλυμπίᾳ στάδιον. Corrigunt Κρίσων, qui nobilis sane fuit cursor.

CLIII.

Etymol. M. p. 249 42: Δατητὴς παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης· Τίν' οἱ δατηταί; Ἀπολλόδωρος διὰ τοῦ σ φησί. In Aristotelis locum Sylburgius *Aristophanem* substituit. Praeterea legendum Τίνες οἱ δατηταί;

CLIV.

Hesychius: Δαφνοπώλην τὸν Ἀπόλλω λέγουσιν, ὡς Ἀριστοφάνης.

CLV.

Pollux II 200: Διαβάται Δημοσθένης, καὶ διαβάτην Ἀριστοφάνης.

CLVI.

Etymol. M. p. 250 8: Δαυλίαν κορώνην· ἀντὶ τοῦ ἀηδόνα Ἀριστοφάνης διὰ τὸν μῦθον. ἔνιοι τὴν δασεῖαν.

CLVII.

Phrynichus Bekkeri p. 35 30: Διετησίως· ἀντὶ τοῦ δι' ἔτους, οἷον καθ' ἕκαστον ἔτος. Θουκυδίδης καὶ Ἀριστοφάνης. Apud Thucyd. II 23 non adverbium, sed adiectivum θυσίαις διετησίοις legitur.

CLVIII.

Hesychius: Δράκαιναν· τὴν μάστιγα, τὴν ὑστριχίδα ὁ Ἀριστοφάνης.

CLIX.

Grammaticus Hermanni p. 436 et Crameri in Anecd. III p. 286 15: ἐν δὲ μονοσυλλάβοις τὸ δρὰψ ἐκτείνεται κείμενον παρ' Ἀριστοφάνει.

CLX.

Scholiasta Dionysii Thracis in Bekkeri Anecd. III p. 942 22: Τὸ δυάκις καὶ τριάκις παρὰ Ἀριστοφάνει.

CLXI.

Pollux X 27: Ἀριστοφάνης (Lysistr. v. 265) Προ-

πύλαια πακτοῦν. καὶ πάλιν, κἀπιπακτοῦν τὰς θύρας. Vulgo ἢ πάλιν καί, quod correxi.

CLXII.

Hesychius: Ἐμπεδορκεῖν· εὐορκεῖν. παίζει δὲ Ἀριστοφάνης παρὰ τὰς πέδας.

CLXIII — CLXV.

Pollux II 199: Τὰ δὲ ὑπὲρ τοὺς δακτύλους κροίματα παίσματα· Ἀριστοφάνης δὲ καὶ ἐπιπταίσματα αὐτὰ καλεῖ. — Idem VI 79: Τὰ δὲ ἐπιδορπίσματα Ἀριστοφάνης ἐπιφορήματα καλεῖ. — Idem II 42: Ἑτερεγκεφαλᾶν, ὡς Ἀριστοφάνης, τὸ παραφρονεῖν. Aliam formam affert Phrynichus Bekkeri Anecd. I p. 37 17: Ἑτερεγκεφαλεῖν· τὸ ἐγκέφαλον ἕτερον καὶ μὴ τὸ κατὰ φύσιν ἔχειν κτλ.

CLXVI.

Hesychius: Ἐτνήρυσις· ἔπαιξεν Ἀριστοφάνης ἀντὶ τοῦ φάναι τὴν σανίδα τὴν ἐτνήρυσιν εἰπών, παρὰ τὸ ἔτνος. Adde Phrynichum in Bekkeri Anecd. I p. 39 15: Ἐτνήρυσις, ἡ τὸ ἔτνος ἐκ τῆς χύτρας ἀρύτουσα, ὥσπερ καὶ οἰνήρυσις, ᾗ τὸν οἶνον ἀρύτομεν, ζωμήρυσις, et p. 55 7: Οἰνήρυσις· ἀγγεῖόν τι, ᾧ τὸν οἶνον ἀρυόμεθα, ὥσπερ ᾧ τὸ ἔτνος, ἐτνήρυσις. Ceterum in illo Hesychii loco recte videtur Naeke in Mus. Rhen. 1832 III p. 497 τὴν ἀμίδα correxisse.

CLXVII.

Photius p. 30 6: Εὔειλος (codex εὔηλος)· εὐήλιος. Ἀριστοφάνης.

CLXVIII.

Suidas: Εὐτεθῆσαι· κοσμῆσαι, συνθεῖναι. οὕτως Ἀριστοφάνης. Dindorfius comparat quod est apud Phrynichum in Bekkeri Anecd. I p. 40 22: Εὐθετεῖν νεκρὸν τὸ εὖ κοσμεῖν ἐν τάφοις νεκρόν. Fortasse potius huc pertinet Pollux II 31: Εὐθετῆσαι δὲ ἔλεγον τὰς τρίχας.

CLXIX. CLXX.

Pollux IX 162: Τὸ παρ' Ἀριστοφάνει εὐκόπως. — Idem VI 161: Ἡμιφωσώνιον Ἀριστοφάνης.

CLXXI.

Photius p. 72 21: *Ἢ πόθεν· ἀμόθεν. οὕτως Ἀριστοφάνης.* Ruhnkenius corrigit: *Ἀμόθεν· πόθεν. οὕτως Ἀριστοφάνης.*

CLXXII — CLXXIV.

Pollux I, 12: *Τοὺς ἐπὶ τοῖς ἀγάλμασι χειροτέχνας οὐκ ἀγαλματοποιοὺς μόνον οὐδὲ ἀγαλματουργούς, ἀλλὰ καὶ θεοποιοὺς καὶ θεοπλάστας, ὡς Ἀρισταφάνης.* — Idem VII 150: *Ἀριστοφάνης δὲ γυναῖκα θερίστριαν καὶ φρυγανίστριαν εἶπε.*

CLXXV. CLXXVI.

Pollux VII 100: *Τοὺς δὲ μεταλλέας θυλακοφορεῖν Ἀριστοφάνης ἔφη.* Duo codices *θυλακοφόρους*. Sed verum videtur alterum, nam infra ipse Pollux X 149: *θυλακοφορεῖν μὲν τοὺς μεταλλέας οἱ κωμῳδοὶ λέγουσι.* — VI 125: *Καὶ κωμικώτερον ὁ Ἀριστοφάνους θυμάγροικος.* Sic codices, vulgo *δημάγροικος*.

CLXXVII.

Phrynichus Bekkeri p. 43 44: *Ἰξοί· ἐπὶ τῶν γλίσχρων καὶ φειδωλῶν. καὶ ἔοικε παρὰ τὸν ἰξὸν γεγενῆσθαι τοὔνομα, ὅτι καὶ ὁ ἰξὸς γλίσχρος ἐστί. λέγει δ' Ἀριστοφάνης οὕτως Ἰξοὶ ῥυποκόνδυλοι. ὅπερ σημαίνει καὶ αὐτὸ τοὺς γλίσχρους καὶ διὰ τὴν φειδωλίαν μήτε λουομένους μήτε νιζομένους.* Cfr. Moeridem p. 201 ed. Piers.

CLXXIX.

Scholiasta Acharn. v. 106: *Ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας οἱ βάρβαροι ἐκάλουν, προείρηται.* Videtur enim perditae alicuius fabulae locum spectare.

CLXXX.

Hesychius: *Ἱπποκλείδης· οὕτω κακοσχόλως τὸ τῆς γυναικὸς μόριον Ἀριστοφάνης εἶπεν.* Photius p. 111 25: *Ἱπποκλείδην· τὸ γυναικεῖον αἰδοῖον, παρὰ τὸ ἱππεύειν.*

CLXXXI.

Pollux IV 67: *Καλαμίνην σύριγγα* εἴρηκεν Ἀριστοφάνης.

CLXXXII.

Pollux VII 166: ὁ δ᾽ αὐτὸς (Ἀριστοφάνης) καὶ *κάμινον βαλανείου* φησί.

CLXXXIII.

Photius p. 129 15: *Κάνδυτος*· σκευασία ὀψοποιικὴ μετὰ γάλακτος καὶ στέατος καὶ μέλιτος. ἔνιοι δὲ διὰ κρέως καὶ ἄρτου καὶ τυροῦ. οὕτως Ἀριστοφάνης. Recte Dindorfius *κάνδυλος*. Vid. Hesychius *Κάνδυλος*· διὰ ἐλαίου καὶ γάλακτος καὶ τυροῦ καὶ μέλιτος πέμμα ἐδώδιμον.

CLXXXIV.

Pollux II 4: Καρηβαρικὸν τὸ πάθος Τηλεκλείδης, τὸ δὲ ὑπὸ μέθης καρηβαρεῖν *καρηβαριᾶν* Ἀριστοφάνης. Olim conieci haec perturbata esse, et Aristophanem *καρηβαρικόν*, Teleclidem *καρηβαριᾶν* dixisse, vid. Commentat. p. 330.

CLXXXV.

Scholiasta Vesparum v. 288: Ἔλεγον δὲ καὶ τὸ βλάψαι *καταχυτρίσαι*, ὡς ἑτέρωθι Ἀριστοφάνης. Adde Etymol. M. p. 313 42: ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης. Cfr. etiam Suidas in ἐγχυτρίστριαι et schol. Platonis p. 336.

CLXXXVI.

Pollux II 57: *Καχύποπτος*, ὡς Ἀριστοφάνης.

CLXXXVII.

Harpocratio: *Κελέοντες*· — κυρίως εἰσὶν οἱ ἱστόποδες. ὡς καὶ παρ᾽ Ἀριστοφάνει δῆλον τῷ κωμικῷ.

CLXXXVIII.

Photius p. 168 12: *Κλέος*· τὴν φαύλην δόξαν Ἀριστοφάνης.

CLXXXIX.

Hesychius: *Κλύμενος· ἰατρὸς ἀφυής, ὃν Ἀριστοφάνης φησὶν ἀναμεμῖχθαι τῷ Μορσίμῳ διὰ καὶ τὸν Μόρσιμον ἰατρὸν εἶναι ἀφυῆ· ἦν δὲ καὶ τραγῳδοποιὸς ἀφυὴς ὁ Μόρσιμος.*

CXC.

Photius p. 173 7: *Κνημία· τὰ ἐν τοῖς θρόνοις καὶ τροχοῖς διερείσματα. καὶ πληγαὶ ἐν κνήμαις. καὶ τὸ κνημιοπαχὲς ξύλον, ὡς Ἀριστοφάνης.* Dindorfius *κνημοπαχὲς ξύλον* coniecit.

CXCI.

Phrynichus Bekkeri p. 47 7: *Κοινοθυλακεῖν· τὸ ἐν ὁδῷ κοινωνεῖν σιτίων καὶ τραπέζης καὶ καταγωγῆς καὶ τῶν τοιῶνδε. Ἀριστοφάνης.*

CXCII. CXCIII.

Pollux VII 134: *Τάχα δ' ἂν καὶ κοπροφόροι εἶεν ἐκ τούτων καὶ κοπραγωγοί, καὶ κοπρολόγοι λέγοιντο. Ἀριστοφάνης μὲν γὰρ εἴρηκε κοπραγωγάς, καὶ ἀλλαχοῦ κοπρολογεῖ κόφινον λαβών.* *κοπραγωγὰς* codd. exhibent, vulgo *κόπρου ἀγωγάς*; et *κοπραγωγεῖν* legitur in Lysistrata v. 1176.

CXCIV.

Harpocratio: *Κρᾶστις· Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. κρᾶστίς ἐστιν ἡ πόα, ὡς καὶ Ἀριστοφάνης.*

CXCV.

Pollux VI 91: *Μέμνηται δὲ Ἀριστοφάνης καὶ κρεοστάθμης.*

CXCVI.

Etymol. M. p. 539 38: *Κροαίνω· τὸ κτυπῶ καὶ ἠχῶ. Ἀριστοφάνης τὸ τοῖς ποσὶ σκιρτᾶν καὶ κροτεῖν.* Nisi hic Aristophanes grammaticus est.

CXCVII.

Pollnx VI 47: *Κυδώνια μῆλα, ὡς Ἀριστοφάνης.*

CXCVIII. CXCIX.

Photius p. 198 11: *Κωπαῖοι·* σφῆκες. οὕτως Ἀριστοφάνης. — Idem p. 211 21: *Λεγωνῆσαι·* ἀντὶ τοῦ παῖσαι. οὕτως Ἀριστοφάνης.

CC. CCI.

Pollux VI 86: Ἀριστοφάνης *λεκανίσκην*. — Idem VII 196: *Λιβανωτοπωλεῖν* Ἀριστοφάνης.

CCII.

Grammaticus in Crameri Anecd. II p. 239 8: Ὁ δὲ Ὠριγένης διὰ τοῦ ι λέγει γράφεσθαι, οἷον — παρ' Εὐφορίωνι λιποκτενίασσα (legendum λιποκτέανος) λιποναῦται, *λιποταξίου* παρὰ Ἀριστοφάνει Hoc tantum Aristophanis esse videtur, alterum illud λιποναῦται Euphorionis.

CCIII.

Phrynichus p. 321 ed. Lobeck: Κοχλιάριον· τοῦτο *λίστρον* Ἀριστοφάνης ὁ κωμῳδοποιὸς λέγει. καὶ σὺ δὲ οὕτω λέγε. Iam cum idem Phrynichus Bekkeri p. 51 9 dicat: *Λίστριον·* τὸ ὑπὸ τῶν πολλῶν καλούμενον κοχλιάριον. Ὅμηρος (Odyss. χ 455) μὲν λίστρον τὸν ξυστῆρα, οὗ ὑποκοριστικὸν λίστριον, οἷον ξυστηρίδιον. ἔοικεν οὖν τὸ πρῶτον τοιοῦτο κατεσκευάσθαι ὅμοιον πτύῳ στρογγύλῳ, Dindorfius coniecit Aristophanem λίστριον dixisse.

CCIV.

Suidas: Λογάρια· οἱ λόγοι. Ἀριστοφάνης. Nescio an Aristophanis verba servata sint apud Antiattic. Bekkeri I p. 107 1: Λογάρια· ὑποκοριστικῶς· *Λογάριά μοι λέγει.* Φαίδων Ζωπύρῳ. Phaedonis certe ista non sunt, sed ex comico aliquo poeta sumta. Compares eundem Grammaticum p. 91 25 sqq. p. 81 5.

CCV.

Phrynichus Bekkeri p. 50 51: *Λογγάζειν·* τὸ διαδιδράσκειν τὸ ἔργον, προφασιζόμενόν τινα πρόφασιν. καὶ τοῦτο Ἀριστοφάνης τίθησιν ἐπὶ ἵππων προσποιούμενος χωλεύειν, ubi Dindorfius recte προσποιουμένων corrigit.

CCVI.

Photius p. 231 11: *Λουτρίδες· δύο κόραι περὶ τὸ ἕδος τῆς Ἀθηνᾶς. ἐκαλοῦντο δὲ αὗται καὶ πλυντρίδες. οὕτως Ἀριστοφάνης.* Posterius hoc vocabulum poeta videtur usurpasse.

CCVII.

Pollux VII 157: *Καὶ λοφοπωλεῖν Ἀριστοφάνης εἴρηκε.*

CCVIII — CCX.

Photius p. 240 5: *Μαγίδες· μᾶζαι. καὶ τὰ τῇ Ἑκάτῃ συντελούμενα δεῖπνα οὕτως Ἀριστοφάνης.* Fortasse dictum in Daetalensibus, vid. Fr. XII. — Idem p. 241 8: *Μάθος· λέγουσι τὴν μάθησιν. οὕτως Ἀριστοφάνης.* Revocat hic locus in memoriam Pollucis locum II 56: *Ἀριστοφάνης δὲ καὶ βλέπος ἐκάλεσε καὶ βλέπησιν.* Quod referunt inter fragmenta, at corrigendum est *βλέπος ἐκάλεσε τὴν βλέπησιν*, pertinetque ad Nubes v. 1176. — Idem p. 244 13: *Μαλθακόν· ἀντὶ τοῦ ἀγαθόν. οὕτως Ἀριστοφάνης.*

CCXI. CCXII.

Photius p. 246 4: *Μάνην· τὴν μανίαν. λέγουσι δὲ καὶ μάναν. Ἀριστοφάνης.* Incertum Aristophanes utrum dixerit. — Idem p. 255 5: *Μελαναίων· τοῦ πλοίου τὸ πεπιττωμένον, τὸ ἔναλον. Ἀριστοφάνης.* Scribendum puto *μελανεών*, quemadmodum *ποδεών*, *πρηγορεών*, alia dicuntur.

CCXIII.

Hesychius: *Μεσαύχενες· Ἀριστοφάνης φησὶ μεσαύχενας νέκυας ἀσώτους· διὰ τοῦ μ γραπτέον μεσαύχενας· ὅτι μέσον αὐχένα αὐτοῦ πιέζει παρεβάλλοντο τὸ σχοινίον· τραγῳδεῖ δὲ τὰ ἐν τῷ Φιλοξένου Σύρῳ· ἔνιοι δὲ διὰ τοῦ δ γράφουσι δεσαύχενες, καὶ οὐ καλῶς.* Dobraeus probabiliter videtur corrigere, *μεσαύχενας νέκυας τοὺς ἀσκούς.* Cfr. Hesychius: *Μεσαύχενες· οἱ ἀπὸ μέσου τοῦ αὐχένος δεσμευόμενοι.* Photius p. 259 13: *Μεσαύχενες· οἱ*

ἀσκοὶ ἢ δεσαύχενες. Tertiam denique varietatem lectionis Pollux affert II 155: *Βυσαύχενας τοὺς ἀσκοὺς Ἀριστοφάνης κέκληκεν.*

CCXIV.

Pollux IX 25: *Ὁ μὲν μεγάλης πόλεως πολίτης μεγαλοπολίτης ἂν λέγοιτο, ὁ δὲ μικρᾶς μικροπολίτης. ὅθεν καὶ Ἀριστοφάνει εἴρηται τὸ μικροπολιτικόν.*

CCXV.

Photius p. 280 3: *Μύξαν· αὐτὸν τὸν μυκτῆρα καλοῦσιν, οὐχὶ τὸ ὑγρόν. οὕτως Ἀριστοφάνης.*

CCXVI — CCXIX.

Pollux VII 177: *Μυροπωλεῖν δὲ Ἀριστοφάνης ἔφη, μυροπώλιον, μύρου ἀλάβαστρον, μυρίδα, μυρηρὰ λήκυθος, ἀλαβαστροθῆκαι. Μυρηρὰ λήκυθος* est in Daetalensibus Fr. IV, *ἀλαβαστροθῆκαι* in Triphal. Fragm. V. Itaque reliqua ex perditis comoediis sunt petita.

CCXX — CCXXIII.

Pollux VII 139: *Ναῦται· οἷς προσήκει καὶ αἱ παρ' Ἀριστοφάνει ναύτριαι.* — Idem II 20: *Ἀριστοφάνης δὲ νεανιεύεσθαι τὸ τολμᾶν ἔφη, — ἀνδρίζεσθαι δὲ εἶπεν ἀνδροῦσθαι, καὶ ἀνδριζόμενοι Ὑπερείδης.* Cfr. Phrynichum in Bekkeri Anecd. I p. 52 17. — Idem VII 138: *Νεῖν δ' ἐξ ὑπτίας μάθημα κολυμβητῶν Ἀριστοφάνης εἶπε καὶ Πλάτων.*

CCXXIV.

Stephanus Byzant. *Νώνακρις: πόλις Ἀρκαδίας. — τὸ ἐθνικὸν — καὶ Νωνακριεὺς λέγεται παρὰ Ἀριστοφάνει.* Dindorfius coniecit *Νωνακρεύς.* Hesychius: *Νωνακρεύς· οἱ μὲν ἀλείπτην Ἀρκαδικὸν ἀποδιδόασιν. ἡ γὰρ Νώνακρις Ἀρκαδίας ἐστὶ τόπος.* Photius p. 306 16: *Νωνακρεύς· πύκτης, παγκρατιαστής.*

CCXXV. CCXXVI.

Pollux II 180: *Καὶ νωτοπλῆγα τὸν μαστιγίαν Ἀριστοφάνης ἐκάλεσε.* — Idem VII 30: *Ἔξαινε δὲ τῶν ἐρίων Ἀριστοφάνης ἔφη.*

CCXXVII.

Photius p. 308 23: *Ξειρης· φυτὸν ἀρωματικόν. Ἀριστοφάνης.* Scribendum *ξειρίς.* Vid. Hesychius: *Ξειρίς· ἀρωματικόν τι φυτόν.*

CCXXVIII.

Scholiasta Vespar. 599: *Κἂν Οἴαγρος εἰσέλθῃ) Ὅτι τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος εἴρηται πρότερον.* At in superstitibus comoediis nusquam memoratur, itaque huc retuli.

CCXXIX — CCXXXII.

Photius p. 330 12: — *τὸ ἱερὸν Ὀλυμπίειον* (codex *ὀλύμπιον*) *πεντασυλλάβως, ὡς Ἀσκληπίειον. Ἀριστοφάνης.* Utrum dixerit poeta, non liquet. — Idem p. 291 15 et Suidas: *Ὀνυχίζεται· ἀκριβολογεῖται. οὕτως Ἀριστοφάνης.* Cfr. Phrynichum in Bekkeri Anecd. I p. 55 9. — Idem p. 349 3: *Ὀργυίας λέγουσιν, οὐχὶ ὀργυιάς. Ἀριστοφάνης.* — Idem p. 356 8: *Οὐδαμᾷ· οὐδέποτε. Ἀριστοφάνης.*

CCXXXIII.

Phrynichus Bekkeri p. 18 23: *Αἱ τῶν γυναικῶν παγίδες· τοὺς κόσμους καὶ τὰς ἐσθῆτας, αἷς χρῶνται αἱ γυναῖκες καλλωπιζόμεναι, παγίδας εἶπεν Ἀριστοφάνης.* Ad Thesmophoriazusas II probabiliter refert Dindorfius.

CCXXXIV.

Pollux VI 163: *Καὶ Ἀριστοφάνης, Πάγκυφος ἐλαία.* Dindorfius *ἐλάα.* Ceterum conferas Hesychium: *Ἀστὴ ἐλαία· ἡ ἐν ἀκροπόλει ἡ καλουμένη πάγκυφος διὰ χθαμαλότητα.* Pollux IX 17: *Ἡ δὲ κωμῳδία καὶ ἀστῆς ἐλαίας εἴρηκε τῆς ἐν πόλει.*

CCXXXV.

Stephanus Byz. *Παμβωτάδης· δῆμος Ἀττικῆς, Ἐρεχθηίδος φυλῆς. ὁ δημότης Παμβωτάδης. τὰ τοπικὰ ἐκ Παμβωτάδων, ἐν Παμβωτάδων. Ἀριστοφάνης.* Scribendum *Παμβωταδῶν.*

CCXXXVI.

Pollux X 156: *Πέτευρον δέ, οὗ τὰς ἐνοικιδίας ὄρνιθας ἐγκαθεύδειν συμβέβηκεν, Ἀριστοφάνης λέγει.* Photius p. 426 12: *Πέτευρον· πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ καὶ μετέωρον ξύλον. Ἀριστοφάνης ἐν τῷ ε.* Photius sane videtur fabulam, ex qua petitum sit vocabulum, ista nota indicare, non tamen crediderim Nubes esse, quod olim existimabam.

CCXXXVII.

Pollux IV 163: *Ἀριστοφάνης δὲ ἔφη καὶ πλεισταχόθεν.*

CCXXXVIII.

Servius ad Virgil. Aeneid. V 830: Fecere pedem] hoc est funem, quo tenditur velum, quod Graeci *πόδα* vocant, ut est apud Pindarum et Aristophanem.

CCXXXIX.

Photius p. 463 21: *Προσχίσματα· εἶδος ὑποδήματος. Ἀριστοφάνης.*

CCXL. CCXLI.

Pollux IV 166: *Πρόσχορον δὲ Ἀριστοφάνης τὴν χορεύουσαν κέκληκε, τὴν δ' αὐτὴν καὶ συγχορεύτριαν.*

CCXLII. CCXLIII.

Pollux IV 18: *Καὶ πυξίον καὶ πυξίδιον παρὰ Ἀριστοφάνει.* — Idem X 59. 60: *Τῷ δὲ παιδὶ δέοι ἂν προσεῖναι — πυξίον· εἴρηται μὲν γὰρ καὶ ἐπὶ ζωγράφου τοὔνομα ἐν Ἀναξανδρίδου Ζωγράφοις — Πυξίον λαβὼν κάθου. οὐδὲν δὲ κωλύει καὶ εἰς ταύτην αὐτὸ τὴν χρῆσιν τὴν ἐπὶ τῷ γράφειν ὑφ' ἡμῶν ἄγεσθαι, ἐπεὶ καὶ Ἀριστοφάνης οὕτω κέχρηται.*

CCXLIV. CCXLV.

Photius p. 478 1: *Πυτίνη· πλεκτὴ λάγυνος. Ἀριστοφάνης.* — Idem p. 486 24: *Ῥήτορα· καὶ τὴν γυναῖκα. Ἀριστοφάνης.*

CCXLVI.

Grammaticus Bachmanni I p. 360 26: *Σαικωνίσαι· κινηθῆναι. Ἀριστοφάνης.* Eadem habet Photius p. 496 7, ubi *σαικονῆσαι* scriptum.

CCXLVII.

Photius p. 503 19 et Grammaticus in Bachmanni Anecd. I p. 362 31: *Σεῖν· τὸ λεγόμενον τοῖς παιδίοις ὑπὸ τῶν τροφῶν, ὅταν αὐτὰ βούλωνται οὐρῆσαι. οὕτως Ἀριστοφάνης.*

CCXLVIII.

Hesychius: *Σέριφος· Ἀριστοφάνης τὴν Λακεδαίμονα Σέριφον.* Photius p. 506 24: *Σέριφον· τὴν Λακεδαίμονα, διὰ τὸ σκληρῶς ζῆν. καὶ χρησμὸς αὐτοῖς ἐξέπεσεν.* Itaque vaticinii cuiusdam sermonem secutus videtur Aristophanes Lacedaemonem appellasse Seriphum.

CCXLIX — CCLI.

Photius p. 518 2: *Σκελετεύεσθαι· ξηραίνεσθαι. Ἀριστοφάνης.* — Idem p. 520 12 et Grammaticus Bachmanni I p. 366 10: *Σκιμβάζειν· χωλεύειν καὶ ἀσκωλίζειν. τὸ αὐτὸ τοῦτο. οὕτως Ἀριστοφάνης.* — Idem p. 524 5: *Σκοπὴν καὶ σκοπιᾶν λέγουσι. καὶ σκοπᾶν Ἀριστοφάνης.*

CCLII.

Pollux VII 148: *Τὴν δὲ σμινύην σμινύδιον Ἀριστοφάνης καλεῖ.*

CCLIII.

Photius p. 532 16: *Σπυρθίζειν· τὸ ἀνασκιρτᾶν, ἀπὸ τῶν ὄνων. οὕτως Ἀριστοφάνης.*

CCLIV.

Pollux III 146: *Ἀριστοφάνης δὲ καὶ σταδιοδρόμης εἴρηκε.* Ita codd. vulgo *σταδιοδρόμος.*

CCLV.

Photius p. 535 5: *Στάσις· οὐχ ἡ φιλονεικία, ἀλλ'*

αὐτοὶ οἱ στασιάζοντες. καλοῦσι δὲ καὶ τὰ πεφυκότα σπέρματα. οὕτως Ἀριστοφάνης.

CCLVI.

Pollux VII 32: Στήμονα δὲ ἐξεσμένον τὸν ἰσχνὸν καὶ λεῖον Ἀριστοφάνης λέγει.

CCLVII.

Grammaticus in Crameri Anecd. II p. 53 14: Στρεψαῖος ὁ Ἑρμῆς παρὰ τῷ Ἀριστοφάνει παρὰ τὸ διεστράφθαι τὰς ὄψεις.

CCLVIII.

Pollux VII 190: Στρογγυλοναύτας Ἀριστοφάνης λέγει.

CCLIX.

Photius p. 567 17: Τάλιδος· τῆς μελλογάμου. οὕτως Ἀριστοφάνης. Nisi cum Meinekio Quaest. sc. II legendum Σοφοκλῆς, scil. Antig. 624.

CCLX.

Etymol. M. p. 747 3. Photius p. 570 3 et Grammaticus Bachmanni I p. 382 8: Τάρρωμα· τὴν κωπηλασίαν. οὕτως Ἀριστοφάνης.

CCLXI.

Photius p. 572 4 et Grammaticus Bachmanni p. 382 20: Τάχας· τοὺς καταστοχασμούς, παρὰ τὸ τάχα. οὕτως Ἀριστοφάνης. Dixerat aliquis ad taedium usque τάχα, quem risit poeta.

CCLXII.

Pollux VII 11: Ἐφ' ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι πιπράσκονται, τοῦτο τράπεζαν Ἀριστοφάνης καλεῖ.

CCLXIII.

Scholiasta Lysistrat. 1237: Τελαμῶνος] Ἀρχή τινος σκολίου Παῖ Τελαμῶνος αἰχμητά. περὶ οὗ δεδήλωται ἤδη. At in superstitibus fabulis non est facta mentio illius scolii, neque in scholiis quasi obiter hoc carmen perstringitur, itaque ad perditam aliquam comoediam refero.

CCLXIV.

Etymol. M. p. 754 34 et Photius p. 580 21: *Τετραχίζειν· οἷον ἐπὶ τετάρτῳ μέρει τι ποιεῖν. οὕτως Ἀριστοφάνης.*

CCLXV.

Photius p. 588 13: *Τίζειν· τί λέγειν. οὕτως Ἀριστοφάνης.* Dictum videtur de eo, qui semper *τί* interrogabat.

CCLXVI. CCLXVII.

Photius p. 589 1: *Τικτικόν· τὸ ταῖς τικτούσαις διδόμενον φάρμακον. Ἀριστοφάνης.* Fortasse ad Triphaletem pertinet. — Idem p. 598 4: *Τραγῳδεῖν· χορεύειν. Ἀριστοφάνης.* Nisi haec cum Meinekio ad Nubium vs. 1087 referenda sunt.

CCLXVIII.

Etymol. M. p. 726 52: *Στειλειά· τὸ τρῆμα τοῦ πελέκεως, δι᾽ οὗ τὸ στελεὸν ἐνείρεται, ἣν τρήμην Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης Τρήμας ἔχει.*

CCLXIX.

Pollux VI 165: *Τρίκλυστος δὲ Ἀριστοφάνης λέγει.*

CCLXX.

Photius p. 607 23: *Τροχίμαλλον· σωρὸς λίθου. οὕτως Ἀριστοφάνης.*

CCLXXI.

Etymol. M. p. 775 5 et Photius p. 616 14: *Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν Ὕην.* Dindorfius ad Horas refert. Meinekius *Ἀπολλοφάνης* coniecit.

CCLXXII.

Photius p. 626 13: *Ὑπογεγραμμένη· ἐστιβισμένη. Ἀριστοφάνης.* Adde Etymol. M. p. 782 10: *Ὑπόγραμμα. τὸ Ἁρματίου ὑπόμνημα· ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι, καὶ ὑπογεγραμμένη ἐστιβισμένη. Ἀριστοφάνης.*

CCLXXIII.

Etymol. M. p. 782 22. Photius p. 627 19 et Suidas: *Ὑποζυγιώδης ἄνθρωπος· ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαι-*

ρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως, ὥσπερ καὶ τὰ ὑποζύγια (haec etiam Phrynichus Bekkeri p. 67 12). εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ἀριστοφάνης.

CCLXXIV.

Photius p. 670 20: Ὕλην· τὸ καθίζον τοῦ οἴνου ἢ τοῦ ὕδατος. οὕτως Ἀριστοφάνης. At recte Lobeckius ad Phrynich. p. 73 ἰλύν corrigere videtur.

CCLXXV.

Etymol. M. p. 783 17: Ὑπόξυλος· ὁ κίβδηλος, ὡς ὑπόχαλκος· οὕτως Ἀριστοφάνης. Dindorfius Menandri nomen substituit, quoniam Pollux III 56 novae comoediae poetis usum huius vocabuli tribuit; at antiquum satis verbum fuit, vid. Inscript. apud Boeckhium C. I. vol. I 139 8, aliudque exemplum apud Polemonem Athen. XI p. 472 B. Nihil igitur mirum, si Aristophanes transtulerit ad omnia, quae commenticia sunt.

CCLXXVI.

Pollux VII 7: Τοὺς μέντοι μὴ ἀκριβεῖς τεχνίτας φαυλουργοὺς κατὰ Ἀριστοφάνην λέγε. Cfr. Meineke Hist. crit. p. 266.

CCLXXVII.

Etymol. M. p. 789 52 et Photius p. 643 22: Φαύστιγγες· οἱ ἐκ τοῦ πυρὸς ἐν ταῖς κνήμαις σπῖλοι. οὕτως Ἀριστοφάνης. Piersonus ad Moer. p. 397 φαύσιγγες recte restituit.

CCLXXVIII.

Pollux VI 167: Ἀριστοφάνης δέ, φιλοκηδῆ λόγον.

CCLXXIX.

Photius p. 654 4 et Etymol. M. p. 796 4: Φλεήσιον· τὸ Φλιάσιον πεδίον. Ἀριστοφάνης. Aristophanis nomen solus Photius servat, quod Dobraeus satis audacter refert ad sequentem glossam: Φληνάφα, φλυάρει, ut pertineat ad Nubb. 1477.

CCLXXX.

Etymol. M. p. 796 46: *Φνεί·* δεῖ γινώσκειν ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ ἄρχεται ἀπὸ τοῦ φ καὶ ν· τὸ γὰρ Φναίτης ὄνομα παρ' Αἰγυπτίοις βάρβαρον. τὸ δὲ φνεὶ ἐπιτετηδευμένον ἐστὶ παρὰ Ἀριστοφάνει μίμημα ὀρνέων φωνῆς. λέγουσι δέ τινες ὅτι τὸ *φνεὶ* οὐκ ἄρχεται ἀπὸ τοῦ φν· οὐκ ἔστι γὰρ *φνεί* ἡ λέξις, ἀλλὰ τοφνεί, τοῦ το μὴ ὄντος ἄρθρου, ἀλλὰ μέρους τῆς λέξεως· καὶ δῆλον ἐκ τοῦ μὴ εὑρίσκεσθαι αὐτὸ χωρὶς τοῦ το παρά τισι. Χοιροβοσκός. Corrupte Photius p. 651 8: *Φλιει·* μιμητικὸς ἦχος τῶν γαμψωνύχων. Ἀριστοφάνης, et Suidas: *Φλίει·* μιμητικῶς φωνεῖ, ubi Meinekius corrigit μιμητικὴ φωνή. Cfr. praeterea Lucianum in Lexiph. c. 19: Οὐδ' ὅσον τοῦ γρῦ καὶ τοῦ φνεὶ φροντιοῦμεν αὐτοῦ.

CCLXXXI.

Phrynichus Bekkeri p. 71 13: *Φορτηγεῖν·* φόρτον ἄγειν. καὶ φορτηγοὺς Ἀριστοφάνης.

CCLXXXII.

Pollux X 123: Τὸ παρ' Ἀριστοφάνει *χείμαστρον.* Adde ibid. VII 61: Τὸ μέντοι χειμερινὸν ἱμάτιον *χείμαστρον* ἂν λέγοις.

CCLXXXIII.

Pollux VII 60: Τὸν δὲ *χορταῖον* (χιτῶνα) τοὺς *προπώλας* *φορεῖν* ὡς ἀγοραῖον Ἀριστοφάνης ἔφη. Ad eundem locum refero quod Pollux dicit VII 12: Ὁ δὲ τοῖς πιπράσκουσι προξενῶν προπράτωρ, ὡς Δείναρχος καὶ Ἰσαῖος, *προπώλην* δὲ Ἀριστοφάνης αὐτὸν εἶπε.

CCLXXXIV.

Moeris p. 419: *Ψίλαξ·* Ἀριστοφάνης. ψιλὸς καὶ λεῖος. Ἕλληνες. Adde Hesychium: *Ψίλακα·* ψιλόν, λεῖον.

CCLXXXV.

Photius p. 655 12: *Ψο·* ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος· ἔστι δὲ ἀποκομματικοῦ λεξειδίου· ψόθον γὰρ

καλοῦσιν. Ἀριστοφάνης. Πλέω γράσου καὶ ψοθοίου καὶ ῥύπου γε καὶ ψόθου· Αἰσχύλος Θεωροῖς. Dindorfius illa Aeschylo tribuit, probatque Dobraei coniecturam: *Πλέω γράσου τε καὶ ψόθου, οἷον καὶ ῥύπου.* Mihi quidem videtur legendum esse: *Πλέω γράσου τε καὶ ῥύπου γε καὶ ψόθου.* Ut hic Aristophanis sit versus, Aeschylus autem illud ipsum *ψὸ* dixerit. Quamquam etiam conieci: *Πλέῳ γράσου τε καὶ ψοθοιοί· Καὶ ῥύπου γε καὶ ψόθου πλέων*, ut alterum Aeschyli, Aristophanis sit alterum. *Ψοθοιὸς* adiectivum memorat Theognostus in Bekkeri Anecd. III p. 1432, substantiva *ψοθούχη* et *ψοθώα* Arcadius p. 100, 23. 107 6.

EPIMETRA.

I. DE PHORMIONE CROTONIATA.

II. SUPPLEMENTA SCRIPTORUM AD HISTORIAM COMICORUM SPECTANTIUM.

EPIMETRUM I.

DE PHORMIONE CROTONIATA.

Scholiasta Ven. ad Aristoph. Pac. 347: *αὐτοῦ* (Phormionis Atheniensis) *μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις, Εὔπολις Ἀστρατεύτοις. ὁ δὲ δεύτερος ἦν κωφὸς, μέμνηται καὶ Στράττις. τρίτος μοιχός, Κρατῖνος Ἀταλάντῃ. τέταρτος Κροτωνιάτης ἀρχαῖος, Κρατῖνος Τροφωνίῳ. πέμπτος ἀρχαῖος Ἀθηναῖος, μετὰ Σόλωνα ἄρξας, Εὔπολις ἐν Δήμοις.* In hoc Phormionum recensu, quem propter Cratini memoriam p. 143 attigi, mirum videri possit, neglectum esse a scholiasta Phormionem eum, quem Dioscuros hospitio excepisse auctor est Plutarchus de Epicur. decr. p. 1103 A: *Σωκράτης οἰόμενος αὐτῷ τὸ δαιμόνιον διαλέγεσθαι ὑπὸ εὐμενείας, καὶ Πίνδαρος ἀκούων ὑπὸ τοῦ Πανὸς ᾄδεσθαί τι μέλος ὧν αὐτὸς ἐποίησε, μετρίως ἔχαιρεν; ἢ Φορμίων τοὺς Διοσκούρους, ἢ τὸν Ἀσκληπιὸν Σοφοκλῆς ξενίζειν αὐτός τε πειθόμενος καὶ τῶν ἄλλων οὕτως ἐχόντων διὰ τὴν γενομένην ἐπιφάνειαν;* Patria hunc fuisse Lacedaemonium ex Pausania III 16 intelligitur, qui quae de Dioscurorum hospitio tribus verbis significavit Plutarchus, copiosius explicavit. Is enim Phormionem Spartiatam affirmat in urbe Lacedaemoniorum inhabitasse dumum, quam olim tenuissent Tyndaridae, qui quum aliquando hospitum Cyrenis se venire simulantium habitu apud eum devertissent, eamque sibi cellam concedi vellent, qua olim, quum

inter mortales aetatem agerent, maxime delectati erant, ille quamlibet domus partem se ipsis lubenter concessurum dixit praeter unum illud, quod filia virgo inhabitabat, cubiculum. Postero die et virgo et omnis eius famulatus evanuerat; in cubiculo autem Tyndaridarum sigilla et silphium mensae impositum reperta sunt. Denique eundem hunc Phormionem una cum Epimenide Empedocle aliisque hominibus vaticinandi arte nobilitatis commemorat Clemens Alex. Strom. I p. 334 ed. Col.: *προγνώσει δὲ καὶ Πυθαγόρας ὁ μέγας προσανεῖχεν ἀεί, Ἄβαρίς τε ὁ Ὑπερβόρειος, καὶ Ἀριστίας ὁ Προκοννήσιος, Ἐπιμενίδης τε ὁ Κρής, ὅστις εἰς Σπάρτην* *) *ἀφίκετο, καὶ Ζωροάστρης ὁ Μῆδος, Ἐμπεδοκλῆς τε ὁ Ἀκραγαντῖνος καὶ Φορμίων ὁ Λάκων.* Sed fortasse iniuria culpamus scholiastae neglegentiam; valde enim vereor, ne Lacedaemonius ille Phormio non diversus fuisse existimandus sit a Phormione Crotoniata, quem in Trophonio commemoravit Cratinus, et Crotoniatarum *στρατηγὸν* fuisse memoriae prodit Hesychius, *Φορμίων: οὗτος στρατηγὸς ἐγένετο Κροτωνιατῶν.* Hunc autem eundem fuisse cum Lacedaemonio ex iis colligi posse mihi videtur, quae de eo memoriae prodidit Theopompus Chius apud Suidam III p. 624. Is Phormionem Crotoniatam tradit in praelio ad fluvium Sagram graviter vulneratum oraculi iussu Lacedaemonem se contulisse ibique ab adolescente quodam, qui eum ad coenam invitasset, inspersis vulneri hastae ramentis sanatum esse. Post coenam quum currum sibi conscendere videretur, subito Crotonem translatum suarum aedium ianuam apprehendisse. Eundem Theoxeniorum festum celebrantem a Dioscuris ad Battum, Cyrenarum regem, evocatum surrexisse de triclinio silphii caulem manibus gestantem. **) Haec igi-

---

*) Mirum est Spartam nominasse scriptorem, cuius loco nemo non Athenas memorari expectaverit. Neglexit Clementis locum, ni memoria fallit, Heinrichius in commentatione de Epimenide.

**) De silphio Castorum Cyrenis cultorum insigni non ex hoc tantum et Pausaniae loco constat, sed etiam ex numis Cyrenaicis, in

tur Theopompus, quae etsi in longe alio argumento versantur atque ea quae ex Pausania rettulimus, tamen, si rem diligentius contempleris, de eodem utrumque scriptorem homine loqui vix infitiaberis. De patria autem quae oboritur controversia ita componi posse videtur, ut Phormionem postea Spartae vitae domicilium posuisse ibique quod vitae reliquum erat transegisse statuamus; neque id in tanta utriusque civitatis affinitate mirandum est. V. Pausan. III 3 1. cll. Müllero Dor. I p. 126. Atque hinc factum est, ut idem homo ab aliis Crotoniata, ab aliis Lacedaemonius appellaretur. Temporis, quo vixit Phormio, hoc unum indicium habemus, quod praelio Crotoniatarum ad Sagram interfuit. Eam pugnam ad antiquiora tempora pertinere et ante Olymp. LVI accidisse probabiliter effecit Heynius Opusc. II p. 184. Ex quo intelligitur Battum, ad quem Phormionem evocatum esse Theopompus tradidit, eius nominis fuisse secundum, qui regnare coepit ante Olymp. LII. Quod autem ad Battum potissimum Phormio evocatus esse dicitur, eius rei haec fuisse videtur caussa, quod etiam Battus rerum divinarum usum habuisse existimatus est. Certe fuisse qui libros de divinatione Mopsi nomine inscriptos a Batto compositos fuisse dicerent, docet Clemens Alex. Str. I p. 333: *φασὶ δὲ τὴν Μόψου καλουμένην μαντικὴν συντάξαι τὸν Κυρηναῖον Βάττον.*

Quae ex Pausania et Theopompo rettulimus satis docent Phormionis vitam miraculis fuisse refertam. Hinc cum Epimenide et Empedocle eum coniunxit Clemens, et in Trophonio, cuius fabulae argumentum ad vatum praestigias spectabat, induxit Cratinus, quod qua ratione instituerit etsi obscurum est, haud inepte tamen, ut mihi quidem videtur, suspiceris, quosdam anonymi poetae versus eidem Cratini

---

quibus silphium stellis Dioscurorum additum conspicitur. Vide quos laudat Bernhardius apud Boeckhium ad Pindar. p. 284. Dioscurorum sacra iam a conditore Batto Cyrenas translata esse tradit schol. Pind. Pyth. V 6. Cfr Thrige de Cyren. p. 290.

fabulae assignandos et de eodem Phormione intelligendos esse. Leguntur illi apud Zonaram, infimae quidem aetatis Graeculum, sed qui haud pauca tamen ex antiquioribus grammaticis derivavit, quae apud Photium Suidam ceterosque frustra quaesiveris. Zonaras igitur Lex. II p. 1366 haec scripsit: *οἱ Ἀττικοὶ μόλυβδον καὶ μολύβδινον. τὸ δὲ μολυβοῦν ἐσχάτως βάρβαρον. Φορμίων· Τρεῖς ἔφη στήσειν τρίποδας, ἔπειτ' ἔθηκεν ἕνα μολύβδινον. Κρατῖνος· Φαίνεσθαι χρυσῆν, κατ' ἀγροὺς δ' αὖθις αὖ μολυβδίνην.* Latere in his comici poetae versus, ita fere scribendos:

Ὁ Φορμίων τρεῖς [ἀργυροῦς] στήσειν ἔφη
τρίποδας, ἔπειθ' ἔθηκεν ἕνα μολύβδινον,

indicavi ad Cratini fragm. p. 232. Ipsi Cratino ut adseribendos censeam *) Cratinei nominis vicinia facit, quod ad primam, an ad alteram, an denique ad utramque *χρῆσιν* referendum sit, libera cuique eligendi potestas est. Quis enim nescit frequentissime apud grammaticos, sive quod ipsis ita placuit sive scribarum vel epitomatorum neglegentia, auctorum nomina exemplis postposita reperiri? Quid autem sit quod Phormio tres argenteos tripodes vovisse, pro tribus illis argenteis autem unum plumbeum dedicasse dicatur, id a nobis explicari nemo postulaverit. Spectat hoc fortasse ad donaria, quae Phormio, si sanitatem recuperasset, deo se oblaturum promiserit.

Sed dignus est de quo accuratius dicatur Theopompi locus, quem quoniam a Wichersio praetermissum video, hic totum adscribam:

Ἦν δὲ Κροτωνιάτης καὶ ἐν τῇ ἐπὶ Σάγρᾳ μάχῃ ἐτρώθη· δυσιάτου δ' ὄντος τοῦ τραύματος, χρησμὸν ἔλαβεν εἰς Λακεδαίμονα ἐλθεῖν· τοῦτον γὰρ αὐτοῦ ἰατρὸν ἔσε-

---

*) Alia quaedam Cratini fragmenta in superioribus neglecta suo loco, h. e. in Supplementis ultimo operis volumini adiiciendis, commemorabo. Nunc illud tantum moneo, integrum Cratini versum, ex quo vocabulum *ἔμπαις* attulit Pollux III 14 (Fragm. inc. CII p. 209) omisso auctoris nomine servatum esse ab Hesychio, *Ἠνδρωμένη· ἀνδρὸς πεπειραμένη· Ἡ παῖς γὰρ ἔμπαις ἐστὶν ὡς ἠνδρωμένη.*

σθαι, ὅς ἂν αὐτὸν πρῶτος καλέσειεν ἐπὶ δεῖπνον. ὡς οὖν ἧκεν εἰς τὴν Σπάρτην, καταβάντα αὐτὸν ἀπὸ τοῦ ὀχήματος ἐκάλεσεν [αὐτὸν] ἐπὶ δεῖπνον νεανίσκος. δειπνήσαντα δὲ ἤρετο ἐφ' ὅ τι ἥκοι. ὡς δὲ ἤκουσε περὶ τοῦ χρησμοῦ, ἀποξύσας τοῦ δόρατος ἐπιτίθησιν. *) *ὡς δὲ ἀνέλυσαν ἀπὸ τοῦ δείπνου, δοκῶν ἀναβαίνειν ἐπὶ τὸ ἅρμα τῆς θύρας αὐτοῦ τοῦ οἴκου τοῦ ἐν Κρότωνι ἐπιλαμβάνεται. ἀλλὰ καὶ Θεοξένια* **) *αὐτοῦ ἄγοντος, ἐκάλεσαν αὐτὸν οἱ Διόσκουροι πρὸς Βάττον ἐς Κυρήνην, καὶ ἀνέστη τε ἔχων σιλφίου καυλόν.* ***)

Ex Theopompi Philippicis haec desumpta esse ipse disertim indicavit Suidas; hinc prompta est coniectura, locum ex ea uberrimi multisque degressionibus referti operis parte excerptum esse, in qua Crotoniatarum cladem ad Sagram fluvium a Locrensibus acceptam descripserat. Hanc luctificam enim potentissimae civitatis cladem, in qua ornanda Theopompi ingenium vel maxime exultare poterat, non indictam praetermisisse historicum mirabilium rerum aventissimum, ex Trogi Pompeii epitomatore intelligitur, qui satis luculentam illius cladis descriptionem exhibuit lib. XX c. 2 sq. Trogum Pompeium autem totum sese ad Theopompei operis imitationem composuisse neminem fugit. Non tamen *αὐτολεξεὶ* Theopompi locum a Suida redditum esse, docet tota compositionis ratio, in qua Theopompeam expositionis perspicuitatem et orationis apte coagmentandae facultatem subinde desideres. Quis enim credat, ut hoc unum commemorem, ab ipso Theopompo non dilucidius explicatum fuisse, quis fuerit ille, qui medelam Phormioni attulisse dicitur, Spartanus adolescens? Quamquam diligentius in rem inquirenti non dubium videbitur, quin is unus fuerit Tyndaridarum. Ita ut statuam facit inprimis simillima alterius, quo

*) Manifestum est excidisse hic aliquid, quo vulnus sanatum esse indicabatur. **) Fortasse scribendum *οὐ μὴν ἀλλὰ καὶ Θεοξένια* etc. De Theoxeniis v. Boeckh. ad Pind. Ol. IX 102. Commemorari videntur etiam a Polyzelo Demotynd. Fragm. II. ***) Hic etiam aliquid ad sententiae absolutionem desideratur.

Crotoniatae in praelio illo usi sunt, imperatoris fortuna. Rem narrat Pausanias III 19: *ἐς ταύτην* (insulam Leucen dicit) *πρῶτος ἐσπλεῦσαι λέγεται Κροτωνιάτης Λεώνυμος. πολέμου γὰρ Κροτωνιάταις συνεστηκότος πρὸς τοὺς ἐν Ἰταλίᾳ Λοκρούς, τῶν Λοκρῶν κατὰ οἰκειότητα πρὸς τοὺς Ὀπουντίους Αἴαντα τὸν Ὀϊλέως ἐς τὰς μάχας ἐπικαλουμένων, ὁ Λεώνυμος Κροτωνιάταις στρατηγῶν ἐπῄει τοῖς ἐναντίοις κατὰ τοῦτο, ᾗ προτετάχθαι σφίσιν Αἴαντα ἤκουεν. τιτρώσκεται δὴ τὸ στέρνον, καὶ ἔκαμνε γὰρ ὑπὸ τοῦ τραύματος ἀφίκετο ἐς Δελφούς. ἐλθόντα δὲ ἡ Πυθία Λεώνυμον ἀπέστελλεν ἐς νῆσον τὴν Λευκήν, ἐνταῦθα εἰποῦσα αὐτῷ φανήσεσθαι τὸν Αἴαντα καὶ ἀκέσεσθαι τὸ τραῦμα.* Quibus similia tradit Conon apud Photium cod. 186 p. 133 ed. Bekk. Creditum igitur est Leonymum et vulneratum et sanatum esse ab Aiace Oilei filio. Iam Dioscuros in praelio Sagrensi non Crotoniatis, sed Locrensibus favisse constat ex testimonio Iustini lib. XX 3: *pugnantibus Locris aquila ab acie nunquam recessit, eosque tam diu circumvolavit quoad vincerent. In cornibus quoque duo iuvenes diverso a ceteris armorum habitu, eximia magnitudine, et albis equis et coccineis paludamentis pugnare visi sunt, nec ultra apparuerunt quam pugnatum est.* *) Pone igitur Phormionem vulneratum fuisse ab alterutro Tyndaridarum, et habebis plane gemellam utriusque ducis fortunam. Ambo eiusdem exercitus duces eodem in praelio grave et humana ope insanabile vulnus susceperunt, ambo ab oraculo medelae rationem expetunt, ambobus vulneris sanandi spes ostenditur ab iis qui vulnus ipsis inflixerant, Leonymus insulam Leucen adire iubetur, in qua versatur Aiacis Locrensis umbra, Phormio Spartam commigrat, Castorum sedem sanctissimam, ambo denique voti compotes facti patriae restituuntur. Plane autem confirmat hanc fabulae redintegrandae rationem ipse Theopompeae narrationis tenor et continuitas. Nonne enim quae

*) Dioscurorum in acie exercitus cui faverent pugnantium exempla collegit Davisius ad Cicer. N. D. II 5.

in fine de Phormionis evocatione ad Battum per Dioscuros adduntur, *ἀλλὰ καὶ Θεοξένια αὐτοῦ ἄγοντος* etc. aperte demonstrant, praecessisse aliquid, in quo eorundem heroum vis et potestas manifestata est? Denique ne illud quidem omittendum est, ita demum perfici et absolvi similitudinem Phormioni cum Telephi sorte manifeste intercedentem. Telephus enim ab Achille Peliaca hasta percussus cum diu ex eo vulnere laborasset, petiit ab Apolline diri cruciatus remedium. Responsum est neminem ei mederi posse nisi eandem hastam, qua vulneratus erat; et sanatus est ab Achille, eodem prorsus modo, ut de Phormione tradit Theopompus, inspersis vulneri hastae quae eum percusserat ramentis, *πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν*, ut est apud Euripidem Plutarchi de audit. p. 46 f. Cfr Boeckhius ad Pindari Isthm. IV p. 518. Unum quod dubitationem facere possit hoc est, quod alias Dioscuri non singuli et seorsim, sed ambo coniunctim mortalibus sese conspiciendos praebent. Sed tamen ne illud quidem sine exemplis fuisse, docent Gallieni, Postumi et Getae nummi, quorum in aversa parte adolescens dextra equum habenis tenens, sinistra hastam gestans conspicitur, cum epigraphe CASTOR. Vide praeter Eckhelii doctr. num. Hemsterhusium ad Polluc. II p. 1027. Ac ne poterant quidem, si quid video, ambo simul Tyndaridae Phormioni in conspectum se dare. Nam quum non ambo, quippe in diversis aciei cornibus dimicantes, Crotoniatarum ducem vulnerasse videantur, consentaneum est hunc ab eo tantum, qui vulnus ei inflixisset, et hospitio exceptum et sanitati restitutum esse.

EPIMETRUM II.

SUPPLEMENTA SCRIPTORUM AD HISTORIAM COMICORUM SPECTANTIUM.

I. ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ. *)

Κωμῳδίαι λέγονται τὰ τῶν κωμικῶν ποιήματα, ὡς τὰ τοῦ Ἀριστοφάνους, Κρατίνου, Μενάνδρου καὶ τῶν ὁμοίων. εὕρηται δὲ ἡ κωμῳδία, ὡς φασίν, ἐξ αἰτίας τοιαύτης. τὸ παλαιὸν ἐν ταῖς κώμαις ἀδικούμενοί τινες ὑπὸ τῶν Ἀθήνησι πολιτῶν, καὶ θέλοντες ἐλέγχειν αὐτούς, κατήεσαν εἰς τὴν πόλιν· καὶ νυκτὸς καθευδόντων πάντων, παριόντες παρὰ τὰς ἀγυιὰς ἔλεγον ἀνωνύμως τὰς βλαβάς, ἃς ὑπέσχον ὑπ᾽ αὐτῶν, τοιαῦτα λέγοντες· „ἐνταῦθα μένει τις, τάδε καὶ τάδε ποιῶν τισὶ τῶν γεωργῶν, καὶ οὐ μετρίας βλαβὰς ἐπιφέρει αὐτοῖς." ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γιγνομένης πρὸς ἀλλήλους λέγειν ἃ νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τοῦτο τῷ ἀδικοῦντι· ὥστε καὶ πολλάκις τῶν ἀδικούντων τὸ τοιοῦτο διορθώσεως γέγονεν αἴτιον αἰσχυνομένους τὴν ὕβριν· ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ᾽ ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν ἀγροίκων· καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεά-

*) Publicavit haec, editis (Hist. crit. com. p. 538 12 — 541 19) haud paullo integriora, ex cod. Paris. Cramerus Anecd. Paris. I p. 3 sqq. Priora vix uno alterove verbo differunt ab iis quae l. l. p. 558 ex scholiasta Dionysii Thracis attuli.

τρου ταῦτα ποιεῖν. οἱ δὲ δειλιῶντες τοῦτο ποιεῖν ἐπιφανῶς τρύγα (τρυγίᾳ?) περιχρίοντες τὰς ἑαυτῶν ὄψεις, οὕτως εἰσῄεσαν· ὅθεν κἀκ τούτου μᾶλλον τῶν ἀδικούντων ἐλεγχομένων ἐπὶ θεάτρου, συστολὴ τῶν ἀδικιῶν ἐγένετο. Ἐπειδὴ δὲ ἡ πόλις ἐκ τούτου μεγάλας ἀπήλαυσεν ὠφελείας, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν οὓς ἂν βούλωνται ἀκωλύτως. Πρῶτον οὖν Σουσαρίων τὶς τῆς ἐμμέτρου κωμῳδίας γέγονεν ἀρχηγός· οὗ τὰ μὲν ποιήματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι ἐπὶ μνήμῃ φέρονται τούτου· εἰσὶ δὲ οὗτοι·

Ἀκούετε λεώς, Σουσαρίων τάδε λέγει (sic),
υἱὸς Φιλίνου, Μεγαρόθεν, Τριποδίσκιος·
κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίας ἄνευ κακοῦ.

Ἀρχὴν οὖν λαβόντος τοῦ πράγματος, πολλοὶ γεγόνασι κωμικοὶ ἐλέγχοντες τοὺς κακῶς βιοῦντας καὶ ἀδικίαις χαίροντας. καὶ ἐντεῦθεν ὠφέλουν κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. Ἐπεὶ δὲ τὸ μὲν παράνομον ἐπικρατές, ὅτι τὰ χείρονα νικᾷ, τὰ δ' ἀγαθὰ ταχέως ἀφίπταται, οὐ μετὰ πολὺν χρόνον οἱ πλούσιοι καὶ οἱ ἄρχοντες οὐ βουλόμενοι κωμῳδεῖσθαι, ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ φανερῶς καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας, ἵν' ἐντεῦθεν ἀδικοῦντες μὴ ἐλέγχωνται ὑπ' αὐτῶν· ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν· ἀλλὰ καὶ ἔτι ἐπὶ πλέον προϊούσης τῆς κακίας ἐκωλύθησαν καὶ τοῦ αἰνιγματωδῶς κωμῳδεῖν. διὸ εἰς ξένους καὶ πτωχοὺς ἔσκωπτον, εἰς δὲ πλουσίους καὶ ἐνδόξους οὐκέτι. Διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία· ἡ μὲν γὰρ καλεῖται παλαιά, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα· ἡ δὲ μέση, ἡ αἰνιγματωδῶς· ἡ δὲ νέα, ἡ ἐπὶ ξένων καὶ πτωχῶν, ὡς εἴρηται. Γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης οὗτός τε ὁ Ἀριστοφάνης καὶ Εὔπολις καὶ Κρατῖνος· τῆς δὲ δευτέρας Πλάτων, οὐχ ὁ φιλόσοφος· τῆς δὲ νέας Μένανδρος.

Κωμῳδοὶ οὖν ἐκλήθησαν, ἢ ὅτι οἱ ἀπὸ τῶν κωμῶν συναγόμενοι ταῦτα ᾖδον, ὡς εἴρηται, ἢ ὅτι ἐν τῷ καιρῷ τοῦ κώματος ἢ τοῦ ὕπνου (λέγεται γὰρ κῶμα ὁ ὕπνος)

ᾖδον. Ἔστι δὲ τὴν κωμῳδίαν καὶ τραγῳδίαν εἰπεῖν, οἱονεὶ τρυγῳδίαν τινὰ οὖσαν, ὅτι τρύγα (τρυγίᾳ?) χριόμενοι ἐκωμῴδουν. Ἔστι δὲ [καὶ] ἡ κωμῳδία μίμησις πράξεως καθαρωτέρας παθημάτων, συστατικὴ τοῦ βίου, διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη. Διαφέρει δὲ τραγῳδία κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, κἂν ὡς ἤδη γενομένων σχηματίζῃ αὐτάς· ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων· καὶ ὅτι τῇ μὲν τραγῳδίᾳ σκοπὸς τὸ εἰς θρῆνον κινῆσαι τοὺς ακροατάς, τῆς δὲ κωμῳδίας εἰς γέλωτα. καὶ πάλιν καθ' ἑτέραν διαίρεσιν, τῆς κωμῳδίας τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. *) διαφέρει οὖν τῆς νέας ἡ παλαιὰ κωμῳδίᾳ χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μέν, καθὰ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου ἦν, ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δέ, καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔσχε, τῇ νέᾳ κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου, ἐνίοτε δὲ καὶ ἐπιτηδεύουσα λέξεις τινάς. ὕλῃ δέ **), καθὸ ἡ μὲν νέα τῷ ἰαμβικῷ μέτρῳ ἐπὶ πλεῖστον χρῆται, σπανίως δὲ καὶ ἑτέροις μέτροις, τῇ δὲ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δέ, ὅτι ἐν μὲν τῇ νέᾳ χορῶν οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ μάλιστα. καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς διαφέρει· καὶ γὰρ οἱ ἐν τῇ Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας — ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα ***) — πρόσωπα ἀτάκτως ****) εἰσῆγον, καὶ γέλως ἦν μόνως τὸ κατασκευαζόμενον. Ἐπιγενόμενος δὲ Κρατῖνος κατέστησεν μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, στήσας τὴν ἀταξίαν, καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράσσοντας διαβάλλων, καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳδίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε καὶ ἠρέμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθο-

*) Vide quae ad editum Anonymum monui p. 539. **) Vide quae dixi l. l. ***) Editus Σαννυρίωνα, pro quo Σουσαρίωνα scribendum esse docui. ****) Cod. εὐτάκτως.

δεύσας τεχνικώτερον τὴν κωμῳδίαν, ἐν ταύτῃ διέλαμψεν ἐν ἅπασιν ἐπίσημος φανείς.

Ὁ δέ γε γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν· ἐκ μὲν τῶν λέξεων κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν, ὡς τὸ διαφορούμενον. *) σημαίνει γὰρ τό τε διαφόροις οὖσι καὶ ἐπικερδέσι. δεύτερον κατὰ συνωνυμίαν, ὡς τὸ Ἥκω τε καὶ κατέρχομαι· ταὐτὸν γάρ. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι πολλάκις χρήσαιτο. τέταρτον κατὰ παρωνυμίαν, ὡς ὅταν τῷ κυρίῳ ἔξωθέν τι κατάθηται **), ὡς τὸ μίμαξ ***) καλοῦμαι Μίδας. πέμπτον καθ' ὑποκορισμόν, ὡς τὸ Σωκρατίδιον, Εὐριπίδιον. ἕκτον κατ' ἐναλλαγὴν, ὡς τὸ ὦ Βδεῦ δέσποτα, ἀντὶ τοῦ ὦ Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως· τοῦτο δὲ ἢ φωνῇ †) γίνεται ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων κατὰ τρόπους δύο, πρῶτον κατὰ ἀπάτην, ὡς Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψυχῆς λόγους· δεύτερον καθ' ὁμοίωσιν· ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται, ἢ εἰς τὸ βέλτιον, ὡς ὁ Ξανθίας εἰς Ἡρακλῆ, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διονύσιος εἰς Ξανθίαν ††).

Ἰστέον ὅτι Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς ὑπὸ Πτολεμαίου τοῦ Φιλαδέλφου προτραπέντες τὰς σκηνικὰς διώρθωσαν βίβλους, Λυκόφρων μὲν τὰς τῆς κωμῳδίας, Ἀλέξανδρος δὲ τὰς τῆς τραγῳδίας, ἀλλὰ δὴ καὶ

---

*) Editus διαφορούμενος. Ven. διαφορουμένοις. Idque verum esse docent sequentia. Hoc enim dicit, διαφορούμενα significare et διάφορα ὄντα, *quae diversa sunt* vel *hostilia*, et ἐπικερδῆ *utilia*, quo sensu alias διαφέροντα usurpari constat. Praeterea editus post διαφορούμενος vel διαφορουμένοις addit οἷον τὸ μέτρον, reliquis σημαίνει — ἐπικερδέσι omissis. Verba οἷον τὸ μέτρον etsi corrupta sunt, hoc tamen intelligitur non grammatici esse, sed poetae, ex quo διαφορουμένοις allatum est.

**) Recte editus ἔξωθέν τις ἅπτηται, modo pro τις scribatur τι.

***) Editus μώμαξ (non μῶμαξ ut in mea editione impressum est), Laur. μώξ. Verum fortasse est μῖμαξ.

†) Editus σχῆμα λέξεως τούτῳ ἡ φωνή. Ad verum ducere poterat scriptura Ven. τοῦτο.

††) Cod. Ἡρακλῆ. Correxit ex edito Anonymo Cramerus.

τὰς σατυρικάς. Ὁ γὰρ Πτολεμαῖος φιλολογώτατος ὢν διὰ Δημητρίου τοῦ Φαληρέως καὶ ἑτέρων ἐλλογίμων ἀνδρῶν δαπάναις βασιλικαῖς ἁπανταχόθεν τὰς βίβλους εἰς Ἀλεξάνδρειαν συνήθροισεν, καὶ δυσὶ βιβλιοθήκαις ταύτας ἐπέθετο, ὧν τῆς ἐκτὸς μὲν ἀριθμὸς τετρακισμύριαι δισχίλιαι ὀκτακόσιαι, τῆς δὲ τῶν ἀνακτόρων ἐντὸς συμμιγῶν μὲν βίβλων ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἀμιγῶν δὲ καὶ ἁπλῶν μυριάδες ἐννέα· ὧν τοὺς πίνακας ὕστερον Καλλίμαχος ἐπεγράψατο Ἐρατοσθένει δὲ ἡλικιώτῃ Καλλιμάχου παρὰ τοῦ βασιλέως τὸ τοιοῦτον ἐνεπιστεύθη βιβλιοφυλάκιον. Τὰ δὲ συνηθροισμένα βιβλία οὐχ Ἑλλήνων μόνον ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἐθνῶν· ἦσαν δὲ καὶ τῶν Ἑβραίων αὐτῶν. Τὰς δὴ οὖν τῶν ἄλλων ἐθνῶν σοφοῖς ἀνδράσι τήν τε οἰκείαν φωνὴν τήν τε τῶν Ἑλλήνων καλῶς εἰδόσι τὰς ἐξ ἑκάστου ἐγχειρίσας, οὕτως ἑρμηνευθῆναι αὐτὰς πεποίηκεν εἰς τὴν Ἑλλάδα φωνήν. Τὰς δὲ σκηνικὰς Ἀλέξανδρός τε, ὡς ἔφθην εἰπών, καὶ Λυκόφρων δεωρθώσαντο. καί τοι τὰς Ὁμηρικὰς ἑβδομήκοντα δύο γραμματικοὶ ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου διέθηκαν οὑτωσὶ σποράδην οὔσας τὸ πρίν. Ἐπεκρίθησαν δὲ κατ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὑπ᾽ Ἀριστάρχου καὶ Ζηνοδότου, ἄλλων ὄντων τούτων τῶν ἐπὶ Πτολεμαίου διορθωσάντων. οἱ δὲ τέσσαρσί τισι τῶν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτωνιάτῃ, Ζωπύρῳ Ἡρακλεώτῃ, Ὀνομακρίτῳ Ἀθηναίῳ καὶ καγ ἐπὶ κογκυλω. *) Ὕστερον δὲ ταύτας ἁπάσας σκηνικάς τε καὶ ποιητικὰς πλεῖστον ἐξηγήσαντο Δίδυμος, Τρύφων, Ἀπολλώνιος, Ἡρωδιανός, Πτολεμαῖος Ἀσκαλωνίτης, καὶ οἱ φιλόσοφοι, Πορφύριος, Πλούταρχος καὶ Πρόκλος, ὡς καὶ πρὸ αὐτῶν πάντων Ἀριστοτέλης.

---

*) Adnotante Cramero, in margine eadem manu scriptum, sed interiore libri margine ita a bibliopego inclusum, ut difficile sit verba legere, νοδα σω τικλην κορ λιωνι. In quibus Ben. Hase v. cl. acute suspicatus est latere Ἀθηνοδώρῳ ἐπίκλην Κορδυλίωνι.

Ἔτι ἰστέον ὅτι καὶ πρώτη κωμῳδία, ἧς τὰ σκώμματα φανερὰ κατὰ πάντων ἦσαν πολιτῶν, μετ᾽ Εὐπόλιδος *) διήρκεσεν. ἐπειδὴ δὲ αὐτὸς εἰς Ἀλκιβιάδην ὕβρισεν ὄντα τότε στρατηγὸν καὶ διελοιδορήσατο αὐτῷ, ὢν τότε Ἀλκιβιάδης ἐμπαράσκευος πρὸς πόλεμον ὡς ναυμαχίας προσδοκωμένης, κελεύει τοῖς στρατιώταις συλλαβεῖν αὐτόν· οἱ δὲ συλλαμβάνοντες αὐτόν, ὡς μέν τινες φασίν, παντελῶς ἀπέπνιξαν αὐτὸν εἰς τὴν θάλασσαν, ὡς δὲ ἄλλοι, δεδεμένον αὐτὸν σχοίνῳ ἀνῆγόν τε καὶ κατῆγον εἰς τὴν θάλασσαν· οὐ μέντοι καὶ ἀπέπνιξαν παντελῶς, τοῦ Ἀλκιβιάδου λέγοντος „βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε ἁλμυροῖς ὕδασι κατακλύσω." **) καὶ οὕτω δὴ ἢ διαφθαρέντος τοῖς κύμασι παντελῶς ἢ καὶ περισωθέντος, ψήφισμα ἔθετο Ἀλκιβιάδης μηκέτι φανερῶς ἀλλὰ συμβολικῶς κωμῳδεῖν. Τότε δὴ αὐτός τε Εὔπολις καὶ Κρατῖνος καὶ Φερεκράτης καὶ Πλάτων καὶ Ἀριστοφάνης αὐτὸς τὰ συμβολικῶς μετεχειρίσατο σκώμματα, ἣ δὴ δευτέρα κωμῳδία ἐλέγετο, μέχρις οὗ μηδὲ συμβολικῶς ἐθελόντων τῶν πολιτῶν σκώπτεσθαι, εἰς δούλους μόνους καὶ ξένους ἔσκωπτον, ἣ δὴ τρίτη ἦν κωμῳδία, αὐξηθεῖσα ἐπὶ Μενάνδρου καὶ Φιλήμονος.

Ἴδιον δὲ κωμῳδίας μὲν τὸ μεμιγμένον ἔχειν τοῖς σκώμμασι γέλωτα, τραγῳδίας δὲ πένθη καὶ συμφοράς· σατυρικῆς δὲ οὐ τὸ ἀπὸ πένθους εἰς χαρὰς ἀπαντᾶν, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ Σοφοκλέους Ἠλέκτρα, ἐκ μέρους, ὥσπερ τινὲς φασίν, ἀλλ᾽ ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα· οἷον, „Ἡρακλῆς πραθεὶς τῷ „Συλεῖ ὡς γεωργὸς δοῦλος ἔσταλται εἰς τὸν ἀγρὸν τὸν ἀμ„πελῶνα ἐργάσασθαι, ἀνεσπακὼς δὲ δικέλλῃ προρρίζους „τὰς ἀμπέλους νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα γεωρ-

---

*) Fortasse μέχρι Εὐπόλιδος.

**) V. Hist. crit. p. 119, ubi quod attuli ex scholiasta Aristidis epigramma, nunc ita scribendum puto:

Βάπτε σύ μ᾽ ἐν θυμέλῃσιν, ἐγὼ δέ σε κύμασι πόντου
βαπτίζων ὀλέσω νάμασι πικροτέροις.

„γοῦ τοῦ ἀγροῦ, ἄρτους τε μεγάλους ἐποίησε, καὶ τὸν κρείττω „τῶν βοῶν θύσας, καὶ τὸν πιθεῶνα διαρρήξας, καὶ τὸν „κάλλιστον πίθον ἀποπωμάσας, τὰς θύρας τε ὡς τράπε„ζαν θεὶς ἤσθιέ τε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ „τοῦ ἀγροῦ δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ „πλακοῦντας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν „τρέψας τὰ πάντα κατέκλυσεν." Ἔστι δὲ τὸ τοιοῦτον Εὐριπίδου δρᾶμα· τοιαῦτα δέ εἰσι τὰ σατυρικὰ δράματα. τέλος δὲ τραγῳδίας μὲν λύειν τὸν βίον, κωμῳδίας δὲ συνιστᾶν αὐτόν, σατυρικῆς δὲ τοιούτοις θυμελικοῖς χαριεντισμοῖς καθηδύνειν αὐτόν. Λυρικοὶ δέ, οἱ καὶ κυκλικοὶ καὶ διθύραμβοι, ἢ ἀθλητὰς ἀγῶσι νικῶντας ἐπῄνουν, ἢ τὸν Διόνυσον ὕμνουν, ἢ ἑτέρους θεούς.

Ἔτι ἰστέον ὅτι κατὰ Διονύσιον *) κα ὶ Κράτητα **) καὶ Εὐκλείδην ***) μέρη κωμῳδίας εἰσὶ τέσσαρα, πρόλογος, μέλος χοροῦ, ἐπεισόδιον καὶ ἔξοδος. καὶ πρόλογος μέν ἐστι τὸ μέχρι τοῦ χοροῦ λεγομένη ῥῆσις. μέλος καλεῖται χοροῦ. ἐπεισόδιον δέ ἐστι μέρος †) μεταξὺ μελῶν καὶ ῥήσεων δύο χοροῦ. ἔξοδος δέ ἐστιν ἡ πρὸς τῷ τέλει τοῦ χοροῦ ῥῆσις. μέρη δὲ παραβάσεως ἑπτά· ἑπτάκις γὰρ ὁ χορὸς ὠρχεῖτο, ἐπειδὰν ††) εἰς τὴν ὀρχήστραν εἰσήρχετο, ἣν δὴ καὶ λογεῖον καλοῦσιν. Ἡ μὲν οὖν πρώτη ὄρχησις κομμάτιον ἐλέγετο, ἡ δὲ δευτέρα παράβασις ὁμωνύμως τῷ γένει ἐκαλεῖτο· καὶ γὰρ τὸ ὅλον τοῦτο ἑπτάστροφον σχῆμα

---

*) *Διονύσιον*] In libro cui index erat *ἱστορία μουσική*, quode vide Hist. crit. com. p. 16 et 608.

**) *Κράτητα*] Non dubito quin Pergamenus intelligendus sit. Vid. Hist. crit. p. 13.

***) *Εὐκλείδην*] Frequens huius Euclidis memoria in tractatu Tzetzae de poesi tragica. V. Crameri Anecd. Oxon. III p. 343, 8. 344, 12 aliisque locis. Cfr O. Müller Mus. Rhen. 1836 p. 358.

†) *μέρος* scripsi pro *μέλος*. De episodio quae hoc loco traduntur, si Dionysio Cratete et Euclide auctoribus tradita sunt, apertum est iniuria me supra ad Metagenis fragm. p. 756 *episodium* ea qua hoc loco definitur notione non nisi de tragoediis dici existimasse.

††) Legebatur *ὠρχεῖτο. ἐπειδὰν δὲ εἰς τὴν* etc.

παράβασις ἐκαλεῖτο· ἡ δὲ τρίτη μακρόν *)· ἡ δὲ τετάρτη ᾠδὴ καὶ στροφή· ἡ δὲ πέμπτη ἐπίρρημα· ἡ δὲ ἕκτη ἀντῳδὴ καὶ ἀντίστροφος· ἡ δὲ ἑβδόμη ἀντεπίρρημα. Εἰσελθὼν οὖν ὁ χορὸς εἰς τὴν ὀρχήστραν μέτροις τισὶ διελέγετο τοῖς ὑποκριταῖς καὶ πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμῳδίας. ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος ἔβαινεν, ἂν δ᾽ ὡς ἀπ᾽ ἀγροῦ, διὰ τῆς δεξιᾶς, τετραγωνιζόμενός τι ὁ χορὸς πρὸς μόνους τοὺς ὑποκριτάς· ἀπελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ὁρῶν ἐκ τετραμέτρου δεκαὲξ στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο ἀντίστροφος, ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον· ὅλη δὲ ἡ πρόσοδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Συμβαίνει δὲ τὸ ἐπίρρημα πέντε σημαίνειν, αὐτό τε τὸ οἰκεῖον σημαινόμενον, καὶ τὴν στροφὴν καὶ ἀντίστροφον καὶ ᾠδὴν καὶ ἀντῳδήν, ἐπεὶ [δὲ] ἡ μὲν στροφὴ τὴν ᾠδὴν σημαίνει, ἡ δὲ ἀντίστροφος τὴν ἀντῳδήν. Γένοιτο δ᾽ ἂν σαφεστέρα ἡ τῶν τοιούτων διδασκαλία ὧδέ πως. ἐν ἐαρινῷ καιρῷ πολυτελέσι δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι, πεποικιλμένη παραπετάσμασι καὶ ὀθόναις λευκαῖς καὶ μελαίναις, βύρσαις τε παταγούσαις καὶ χειροτινάκτῳ πυρί, ὀρύγμασί τε καταγείοις καὶ ὑπογαίοις, καὶ ὑδάτων δεξαμεναῖς εἰς τύπον θαλάσσης, ταρτάρου, ᾅδου, κεραυνῶν καὶ βροντῶν, γῆς καὶ νυκτός, οὐρανοῦ, ἡμέρας καὶ ἀνακτόρων, καὶ πάντων ἁπλῶς· αὐλάς τε οὐ μικρὰς εἶχεν ἐξειργασμένας καὶ ἀψῖδας εἰς τύπον ὀρῶν. Διὰ μὲν οὖν ἀριστερᾶς ἀψῖδος ἐχώρουν, εἰ ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς ἢ θέατρα, ἂν δὲ πρὸς πόλιν ὡς ἐκ θεάτρου ἢ ἀπ᾽ ἀγροῦ, διὰ δεξιᾶς. τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία.

Τὰ σκηνικὰ δ᾽ ἀπ᾽ αὐτῆς καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς· σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑποκριτῶν πρόσωπα. ταῦτα δὲ τοῖς μὲν τραγικοῖς καὶ σατυρικοῖς ἀνὰ δεκαὲξ ἦσαν· ὁ κωμικὸς δὲ εἶχεν εἴκοσι

---

*) μακρὸν scripsi pro μικρόν.

τέσσαρα· ἃ δὴ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων, τὰ οἰκεῖα τῷ καθ' ἐνὶ αὐτῶν καὶ οἰκείῳ ἠθροισμένα δρῶντα, ὁ χορὸς ἐκαλεῖτο. Διαιρεθεὶς δὲ ὁ χορὸς εἰς τμήματα δύο, ἡμιχόρια ὠνομάζετο, παραχρηστικῶς δὲ καὶ χορός· εἰ δὲ καθ' ἕνα ἐτέμνετο, ὑποκριταὶ ἐκαλοῦντο κοινῷ ὀνόματι, διὰ τὸ μὴ δύνασθαι μιᾷ κλήσει περιειλῆφθαι, ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. Διαιροῦνται γὰρ τὰ μερικὰ ταῦτα εἰς πολλά, εἰς προλογίζοντας, εἰς ἀγγέλους, εἰς ἐξαγγέλους, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεούς, καὶ εἰς ἄλλα μύρια.

Τούτων οὖν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν ὀρχήστραν, ἣν ἔφασαν καὶ λογεῖον (ἐκαλεῖτο δὲ ἡ εἰσέλευσις εἴσοδος, καὶ ἐπήλυσις, καὶ ἐπίβασις, καὶ πάροδος, καὶ παράβασις), εἰσελθὸν οὖν καὶ παραβὰν εἰς τὴν ὀρχήστραν πρὸς τοὺς ὑποκριτὰς τὸν λόγον ποιούμενον, τὸ πρόσωπον βλέπον εἶχε πρὸς τὴν σκηνήν· ἐξελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερόν· καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον καὶ ἔλεγέ τι ἑκατέροις τοῖς μέρεσι· εἶτα ἐξήρχετο, καὶ τέλος τὸ δρᾶμα ἐλάμβανεν. Ταῦτα μὲν οὖν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ δράματος, παράβασις, στροφή, ἀντίστροφος καὶ ἔξοδος. καὶ λογικὰ δὲ μέρη αὐτῆς τέσσαρα, ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρόλογος, ἀντὶ δὲ στροφῆς καὶ ἀντιστρόφου ᾠδὴ καὶ ἀντῳδή, ἐπίρρημα καὶ ἀντεπίρρημα, ἀντὶ δὲ ἐξόδου ᾠδὴ καὶ ῥῆμα ἐξιτήριον· ταῦτα μὲν τὰ τέσσαρα μέρη πρακτικὰ καὶ λογικὰ τῶν δραματικῶν ποιημάτων ὑπῆρχε. Τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη, στροφή, ἀντίστροφος, καὶ ἔξοδος ἢ ἐξέλευσις, πρακτικά· λογικὰ δέ, ᾠδὴ ἀντῳδὴ καὶ ἐπῳδός. ἡ οὖν ἀντῳδὴ τῇ ᾠδῇ ἰσαρίθμους ἔχει στίχους, καὶ τοῖς αὐτοῖς μέτροις ἑκατέρα χρῆται· ὁ δὲ ἐπῳδὸς διάφορα ἐκείνων ἔχει καὶ τῷ ἀριθμῷ καὶ τῇ ποιότητι οὐδαμοῦ. Ἐφθέγγοντο δὲ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερα μέρη τοῦ δήμου ὁρῶντες, πρῶτον μὲν τὴν ᾠδήν, εἶτα τὴν ἀντῳδήν, ἐπὶ δὲ τῷ τέλει τοῦ ἐπῳδοῦ ἤγουν ὑστερῳδήν τε καὶ ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτῶν περι-

κλείοντες. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῷ εἰσελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ προοίμιον.

II. SCHOLION PLAUTINUM. *)

EX CAECIO **) IN COMMENTO COMOEDIARUM ARISTOPHANIS IN PLUTO, QUAM POSSUMUS OPULENTIAM NUNCUPARE.

Alexander Aetolus et Lycophron Chalcidensis et Zenodotus Ephesius ***) impulsu regis Ptolemaei philadelphi cognomento, qui mirum in modum favebat ingeniis et famae doctorum hominum, graecae artis poeticos libros in unum collegerunt et in ordinem redegerunt, Alexander tragoedias, Lycophron comoedias, Zenodotus vero Homeri poemata et reliquorum illustrium poetarum. Nam rex ille philosophis affertissimus †) et caeteris omnibus autoribus claris, disquisitis impensa regiae munificentiae ubique terrarum quantum valuit voluminibus opera Demetrii Phaleri et LXX ††) senum duas bibliothecas fecit, alteram extra Regiam, alteram autem in Regia. In exteriore autem fuerunt milia voluminum quadraginta duo et octingenta. In Regiae autem bibliotheca voluminum quidem commixtorum volumina quadraginta milia, simplicium autem et digestorum milia nona-

---

*) Edidit primus integrum Fr. Ritschelius in libro de bibliothecis Alexandrinis Vratisl. 1838. postea Cramerus Anecd. Par. I p. 12 et Dindorfius schol. Arist. III p. 394.

**) H. e. Tzetza, ut primus monuit G. Dindorfius. Vid. Hist. crit. p. 9. Frustra, ut mihi quidem videtur, repugnat Cramerus. Nec tamen ideo totum illum, ex quo haec latine conversa sunt, de Comoedia tractatum eidem auctori adscripserim, quamquam negari non potest multa in eo inesse Tzetzae stupore dignissima.

***) Codex *Ephestius.*

†) Dindorfius probabiliter *affectissimus.*

††) *et LXX* Bernhardius Annal. crit. Berol. 1838 p. 828. Codex *p̄hzka.*

ginta, sicuti refert Callimacus aulicus Regius bibliothecarius, qui etiam singulis voluminibus titulos inscripsit. Fuit praeterea qui idem asseveret Eratosthenes non ita multo post eiusdem custos bibliothecae. haec autem fuerunt omnium gentium ad linguarum quae habere potuit docta volumina, quae summa diligentia Rex ille in suam linguam fecit ab optimis interpretibus converti. Ceterum Pisistratus sparsam prius Homeri poesim ante Ptolemaeum philadelphum annis ducentis et eo etiam amplius sollerti cura in ea quae nunc extant redegit volumina, usus ad hoc opus divinum industria celeberrimorum et eruditissimorum hominum, videlicet Concyli *), Onomacriti Atheniensis, Zopyri Heracleotae et Orphei Crotoniatae. nam carptim prius Homerus et non nisi difficillime legebatur. Quin etiam post Pisistrati curam et Ptolemaei diligentiam Aristarchus adhuc exactius in Homeri elimandam collectionem vigilavit. Heliodorus multa aliter **) nugatur, quae longo convicio Caccius reprehendit. Nam ab LXXII doctis ***) viris a Pisistrato huic negotio praepositis dicit Homerum ita fuisse compositum, qui quidem Zenodoti et Aristarchi industriam omnibus praelatam comprobarint, quod constat fuisse falsissimum †), quippe quum inter Pisistratum et Zenodotum fuerint anni supra ducentos, Aristarchus autem CXL ††) annis minor fuerit ipso et Zenodoto atque Ptolemaeo.

---

*) Vide supra p. 1238.

**) Bernhardius *alia nugatur.* In graecis fuisse videtur ἄλλως φλυαρεῖ.

***) ab LXXII doctis] Ita Bernhardius, cuius coniectura nunc confirmatur iis quae supra allata sunt. Codex *ol' LXXII duobus.*

†) Quam opinionem graviter hoc loco reprehendit Tzetza, eam ipse sequitur in Exegesi in Iliadem, prius, ut videtur, scripta, p. 45. 46 et 125. quos locos indicavit Bernhardius. *Dindorfius.*

††) CXL] Ita Bernhardius. Codex *quattuor.*

III. ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

ΣΤΙΧΟΙ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΠΟΙΗΤΩΝ. *)

Ποιητικῶν μέλλουσιν ἄρχεσθαι λόγων
χρεὼν διδάσκειν πρῶτα τὰς διαιρέσεις·
οὕτω γὰρ εὐσύνοπτον ἔσται τοῖς νέοις.
καὶ δὴ τὸ λοιπὸν ἐγκαταρκτέον λέγειν.
ποιητικὸν γίνωσκε σὺ γένος, νέε,
πολλὰς τομὰς φέρον τε καὶ διαιρέσεις·
τὸ μὲν γὰρ αὐτῶν λυρικὴν κλῆσιν φέρει,
ἄλλο τραγικήν, κωμικήν, μονῳδίαν,
καὶ σατυρικὸν καὶ διθύραμβον πάλιν·
ἰαμβογραφία τε τούτοις συντρέχει,
ποιητικόν τε πᾶν ἀνώνυμον γένος.
καὶ δὴ τὸ πᾶν γνώρισμα σαφηνιστέον.
τῶν λυρικῶν γνώρισμα πρῶτον ἡ λύρα·
πρὸς γὰρ λύραν ἔμελπον αὐτοὶ τὰ μέλη·
εἶχον δὲ πεντήκοντα τοὺς χοροστάτας,
καὶ βοῦς τὸ δῶρον κυκλικῶς ἑστηκότων·
ὅθενπερ αὐτούς τις καλεῖ ταυροφάγους
τοῦ λυρικοῦ κύκλου δὲ σύστημα τόδε·
Κόριννα, Σαπφώ, Πίνδαρος, Βακχυλίδης,
Ἀνακρέων, Ἴβυκος, Ἀλκμάν, Ἀλκαῖος,
Στησίχορός τε καὶ Σιμωνίδης ἅμα,
δεκὰς ἀρίστη παντελὴς πληρεστάτη.
τὴν τραγικὴν μάνθανε καὶ κωμῳδίαν.

---

*) Ediderunt haec Duebnerus in Mus. Rhen. 1835 p. 393 et Cramerus Anecd. Oxon. III p. 334 sqq. hic duobus codd. (Barocc. et Meerm.) Duebnerus uno (Paris.) usus. Lectionis diversitatem annotavi non nisi potiorem.

Vs. 5 Par. ποιητικὴν γίνωσκε σύ, γένος νέε. — Vs. 6 Barocc. et Par. φέρων. — Vs. 17 scholion Paris. Κρατῖνος ὁ κωμικός. Ib. ταυροφάγους scripsi pro ταυροσφάγους. Vid. Hist. com. crit. p. 52. — Vs. 23 Par. τὴν φαλλικὴν pro τὴν τραγικήν.

ἄμφω πρὸς ὠφέλειαν εὕρηνται βίον·
τὴν δ᾽ εὕρεσιν μάνθανε πῶς ἐφευρέθη.
πένητες ἄνδρες ἀττικοὶ γῆς ἐργάται,
ἀδικίας πάσχοντες ἐν γεωργίαις
ἐξ ἀττικῶν μὲν εὐγενῶν δὲ τῷ γένει,
ἀντιλέγειν δὲ μὴ σθένοντες μηδόλως,
συνεργὸν ἐξεύραντο τὸν νυκτὸς χρόνον·
κώμαις γὰρ αὐτοὶ ταῖς στενωπαῖς τριόδοις
κῶμα κατ᾽ αὐτὸ καὶ γλυκὺν ὕπνου χρόνον
περιτρέχοντες καὶ λέγοντες τὰς βλάβας
θόρυβον εἰργάσαντο τοῖς πέριξ μέγαν,
ὡς ἡλίου τρέχοντος ἡμέρας δρόμον
ζητεῖν, ἐρευνᾶν πανταχοῦ τοὺς αἰτίους,
καὶ τοὺς γεωργοὺς τοὺς παθόντας τὰς βλάβας.
ἐπεὶ δ᾽ ἐφευρέθησαν οἱ γῆς ἐργάται,
ᾔτησεν αὐτοὺς ἀττικὴ γερουσία
κώμοις παρ᾽ αὐτοῖς καὶ πότοις Διονύσου
τελουμένοις κώμαις τε καὶ τοῖς χωρίοις
βλάβας κατειπεῖν ἃς ἔλεξαν ἐννύχως·
οἱ δ᾽ αὖ θέλοντες ἅμα καὶ δεδοικότες
τρυγὶ καταχρίσαντες αὐτῶν τὰς θέας
ἀγνωστοφανῶς εἶπον ὡς πρὶν τὰς βλάβας.
ἐπεὶ δ᾽ ἐσωφρόνισε τὸ πρᾶγμα πόσους,
ἔδοξε πᾶσι τοῖς σοφοῖς βουληφόροις
πρὸς σωφρονισμὸν τοῦτο παντὸς τοῦ βίου
ἀεὶ τελεῖσθαι τοῖς ἐτησίοις κύκλοις,
ἐαρινῷ μάλιστα καιρῷ δὲ πλέον.
καὶ πρῶτον αὐτά πως μετῆλθον ἀγρόται,
κωμῳδίαν δή φημι καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
Ἄνδρας μετ᾽ αὐτοὺς ἀξιοῦσι πανσόφους
ἅπαντα πράττειν εὐγενῶς καὶ κοσμίως,
οὕσπερ τὸ λοιπὸν καὶ διδασκάλους ἔφαν.

Vs. 28 fort. ἀστικῶν. — Vs. 31 Par. στενώπαις. — Vs. 45 Par. ἀγνωστοφανεῖς. — Vs. 46 Par. πόσου. Meerm. πόσις.

κλῆσις δὲ τοῖς σύμπασιν ἦν τρυγῳδία·
χρόνῳ διῃρέθη δὲ κλῆσις εἰς τρία,
κωμῳδίαν ἅμα τε καὶ τραγῳδίαν
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
Ὅσον μὲν οὖν ἔσχηκε τὴν θρηνῳδίαν,
τραγῳδίαν ἔφασαν οἱ κριταὶ τότε·
ὅσον δὲ τοῦ γέλωτος ἦν καὶ σκωμμάτων,
κωμῳδίαν ἔθεντο τὴν κλῆσιν φέρειν·
ἄμφω δὲ πρὸς σύστασιν ἦσαν τοῦ βίου·
ὁ γὰρ τραγικὸς τῶν πάλαι πάθη λέγων,
Ῥήσους, Ὀρέστας, Φοινίκας (sic), Παλαμήδεις,
τοὺς ζῶντας ἐξήλαυνεν ἀγερωχίας.
ὁ κωμικὸς δέ πως γελῶν κωμῳδίαις
ἅρπαγά τινα καὶ κακοῦργον καὶ φθόρον
τὸ λοιπὸν ἡδραίωσεν εἰς εὐκοσμίαν.
οὕτω λύει μὲν ἡ τραγῳδία βίον,
βαθροῖ δὲ καὶ πήγνυσιν ἡ κωμῳδία,
ὁμοῦ σκυθρωποῖς τῇ χαρᾷ μεμιγμένη.
διαφορὰν ἔφημεν αὐτῶν ἀρτίως,
τοὺς εὑρετὰς δὲ τοιγαροῦν νῦν λεκτέον.
Τριττὴν νόει δὲ πρῶτον τὴν κωμῳδίαν·
πρώτην, μέσην, ἔπειτα καὶ τὴν ὑστέραν.
πρώτης μὲν ἦν ἴδιον ἐμφανὴς ψόγος·
ἧς ἦν κατάρξας εὑρετὴς Σουσαρίων.
τῆς δευτέρας ἦν ὁ ψόγος κεκρυμμένος·
ἧς ἦν Κρατῖνος, Εὔπολις, Φερεκράτης,
Ἀριστοφάνης, Ἕρμιππός τε καὶ Πλάτων·
καὶ τῆς τρίτης ἦν ὁ ψόγος κεκρυμμένος,
πλὴν κατὰ δούλων καὶ ξένων καὶ βαρβάρων·
ἧς ἦν Μένανδρος ἐργάτης καὶ Φιλήμων.

Vs. 80 schol. Par. *Σουσαρίων οὗτος ὁ κωμικός, φαύλης τῆς γυναικὸς τούτου φανείσης καὶ τοῦτον ἀπολειπούσης, εἰσελθὼν ἐν τῷ θεάτρῳ ἐφθέγξατο ταδὶ Ἀκούετε λεῴ, Σουσαρίων λέγει τάδε κτλ. ἰστέον δὲ ὡς τῶν Σουσαρίωνος τούτου ποιημάτων μόνα ταῦτα κατελείφθη τὰ τέσσαρα ἰαμβεῖα· ἡ δὲ λέξις ἡ λέγουσα Τριποδίσκιος τοῦ, φησί, ἀπὸ πόλεως Τριποδίσκου, μιᾶς τῶν Μεγαρικῶν πόλεων.*

Τραγῳδίας μάνθανε τοὺς διδασκάλους·
Θέσπιν, Φρύνιχον, Αἰσχύλον, Σοφοκλέα·
ὕστατος αὐτὸς Εὐριπίδης Μνησάρχου,
κἄν περ κατεῖδε τὸν σοφὸν Σοφοκλέα.
σατυρικὸν δὲ Πρατίναν οἶδα μόνον·
ἄλλους δ' ἐφευρὼν εἰ θέλεις, τέκνον, γράφε.
Εἰ δ' ἀκριβῶς ἅπαντα μανθάνειν θέλεις,
Ὅμηρός ἐστι καὶ πατὴρ κωμῳδίας,
καὶ σατυρικῆς ἅμα καὶ τραγῳδίας,
ἄλλης τε πάσης ἐν λόγοις εὐτεχνίας.
τούτοις δὲ κοινόν, τοῖς τρισὶ χοροστάταις,
ἐν τετραγώνῳ τῇ στάσει καθεστάναι,
τράγον τε πρὸς δώρημα τῆς νίκης φέρειν,
καὶ δημοσίαν τὴν τροφὴν ἐσχηκέναι,
μιμητικῶς τε πάντα δρᾶν τῇ θυμέλῃ.
ὅθεν περ ἐσχήκασι κλῆσιν δραμάτων·
μίμους γὰρ ἐκτρέφοντες ἄνδρας θυμέλης
μιμητικοῖς ἔπραττον ἅπαντα τρόποις,
ἀνδρῶν γυναικῶν ἐκμιμούμενοι θέας.
ταῦτα τὰ κοινὰ τῶνδε καὶ μεμιγμένα.
Διαφορὰν μάνθανε τῆς κωμῳδίας,
ἧς εἰκοσιτέσσαρες οἱ χορεργάται,
ἑκκαίδεκα δὲ σατύρων, τραγῳδίας.
Κωμῳδίας ἔφημεν εἶναι τὸν γέλων,

Vs. 91 Par. et Meerm. *Πραττίναν.* — Vs. 92 schol. Par. *τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα γράψασι οὕτω „τὸ δρᾶμα τὸ τῆς Ἀλκήστιδος Εὐριπίδου καὶ ὁ Ὀρέστης καὶ ἡ Σο-„φοκλέους Ἠλέκτρα, καὶ ὅσα τοιαῦτα, σατυρικά εἰσι καὶ οὐ τραγικά· ἀπὸ „συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσι." Οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων τούτοις ἠπατημένος· ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου, αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμῳδίας διαφοράν· ἡ μὲν οὖν κωμῳδία δριμέως τινῶν καθαπτομένη διαβολαῖς, ἐπιλοιδορίαις κινεῖ γέλωτα· ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμιγῆ λοιδορίας ἔχει τὸν γέλωτα, πάνυ ἡδύτατον, οἷον τὸν ἐν θυμέλαις.* Ad ea quae in his et supra p. 1239 de Alcestide et Oreste traduntur compara Dindorfium Praef. ad Eurip. Alcest. p. 7 sq. et Hermannum Praef. ad Eurip. Cycl. p. VII.

τραγῳδίας πάλιν δὲ τὴν θρηνῳδίαν,
τῶν σατύρων γέλων δὲ καὶ θρηνῳδίαν.
κλῆσιν δὲ νῦν μάνθανε τῆς κωμῳδίας·
κώμαις στενωποῖς κώματος πρὶν ἐν χρόνῳ
ἐφευρέθη μέν, ὡς ἔφην ἀνωτέρω,
ἀγρῶν δὲ κώμαις ἐκτελουμένη τότε,
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου,
κωμῳδίας ἔσχηκε κλῆσιν εὐλόγως.
τραγῳδία δὲ παρὰ τὴν οἴνου τρύγα,
ἐν ᾗπερ ἐξέχρισαν τὰς αὐτῶν θέας,
ἢ παρὰ τὴν τρύγα δὲ τὴν δωρουμένην,
ἤτοι τὸν οἶνον Ἀττικῷ πάντως λόγῳ,
ἢ τὸν τράγον δὲ καὶ τετράγωνον στάσιν,
ἢ τὴν τραχῳδίαν τε καὶ θρηνῳδίαν.
τὸ σατυρικὸν ἐκ σατύρων εὑρέθη·
τοὺς ἀγρότας δὲ πρὶν ἐκάλουν σατύρους·
ἐκ τῶνδε γοῦν εὕρηκε τὴν κλῆσιν τόδε·
ἔσχηκε καὶ κλῆσιν δὲ ταῦτα δραμάτων,
οὐ μὴν δὲ λοιπὸν ὡς τὰ λοιπὰ γραμμάτων·
ἐδρῶντο καὶ γὰρ ἐν μίμοις πρὶν ἀνδράσιν
εἰς Τηλέφου μίμημα καὶ Φιλοκτήτου,
οὐδ' ἐν μόνοις γράμμασιν εἶχε τὴν στάσιν.
Μονῳδίαν μάνθανε σὺν αὐτοῖς, τέκνον·
γίνωσκε κυρίως δὲ τὴν μονῳδίαν,
ὅταν μόνος λέγῃ τις ἐν θρηνῳδίαις,
κατὰ δὲ παράχρησιν, ἂν λέγῃ μόνος,
ὥσπερ Λυκόφρων εἰς Ἀλεξάνδραν γράφει·
ἄλλοις γάρ ἐστι τραγικὸς χορεργάτης
πολλὰς γεγραφὼς καὶ σοφὰς τραγῳδίας.
ἔφην τὸ λοιπὸν καὶ μονῳδίας σοι, τέκνον·
τοὺς διθυράμβους τοιγαροῦν μοι λεκτέον.
οὗτοι λυρικὸν καὶ χορὸν καὶ τὴν στάσιν

Vs. 114 Par. στενώποις. — Vs. 117 Par. κώμας παρ' αὐτάς. — Vs. 124 Par. τραγῳδίαν. — Vs. 134 Par. κυρίαν. — Vs. 135 Par. ὁ πανμόνος. — Vs. 138 Par. τραγικοῖς. Fortasse ἄλλος scribendum. Ita Alexandrae auctorem a Chalcidensi distingueret. — Vs. 140 Par. μονῳδές.

καὶ δῶρον εἶχον. τὰ δὲ λοιπά μοι μάθε·
οἱ πρὸς τὸν Διόνυσον γράφοντες λόγους
παμπλειστοσυστρόβητον ἔγραφον μέλος,
οἷόνπερ αὐτὸς στίχον ἀρτίως ἔφην,
ἀσματοκαμπῶν πλειστοποικίλῳ τρόπῳ.
Ταῦτα δ' ἐποίουν ἐκμιμούμενοι τρόπους
τοὺς βακχικούς τε καὶ στροφὰς πολυστρόφους·
κλῆσιν δὲ διθύραμβον ἔσχον, ὦ τέκνον,
ἐκ Διονύσου βακχικοῦ χοροστάτου,
ὅστις περ ἐξέδραμε θύρας τὰς δύο,
μηρὸν Διός τε καὶ Σεμέλης γαστέρα.
Φιλόξενον δὲ τὸν Κυθήριον λέγε
τῶν διθυράμβων εὑρετὴν συγγραμμάτων.
ἰαμβογράφους γλωττοτοξότας νόει
Πάριον Ἀρχίλοχον, αἰσχρὸν ἐν λόγοις,
καὶ δεινὸν Ἱππώνακτα πικρίας πλέων,
οὗπερ παρεισέγραψέ τις τύμβῳ τάδε·
„Οὐ βότρυν ἀλλ' ἄχερδον ἐν τάφῳ φέρει,
„στύφοντα, πικραίνοντα πικρίᾳ λόγων·
„ἀλλά τις Ἱππώνακτος ἐλθὼν εἰς τάφον
„τὸν ἄνδρα κνώσσειν εὐμενῶς εὔχου κάτω."
Ἰὸν δέ πως βάζοντες ἐμπίκροις λόγοις
κλῆσιν κατεπλούτησαν ἰαμβογράφων.
ποιητικὸν δὲ πᾶν ἀνωνύμως λέγε
ὅπου περ εὑρήσειας αὐτός μοι, τέκνον,
ἡρωϊκὸν μέτρον τε καὶ μύθους ἅμα,
λέξιν τε ποιὰν ἱστορικήν τε φράσιν.
πεντὰς δὲ τούτων ἐστὶν ἐξηρημένη,
Ὅμηρος, Ἡσίοδος, Πάνυσις τρίτος,
Πείσανδρος, Ἀντίμαχος, οἱ δ' ἄλλοι νέοι,
ὧνπερ τὸν ἐσμὸν τίς διαγράψει λόγος;
οὕτω τὰ πάντα σὺ μαθὼν κατ' ἀξίαν
γίνωσκε καλῶς καὶ διακρίνων βίβλους.
ὡς τεχνικῶς βαδίζε (sic) πρὸς λόγων τρίβους.

Vs. 171 *Πανῦοις* Bar. — Vs. 175 Par. *βίβλον*. — Vs. 176 deest Par.

ΤΟΥ ΑΥΤΟΥ ΙΑΜΒΟΙ ΤΕΧΝΙΚΟΙ ΠΕΡΙ ΚΩΜΩΔΙΑΣ.

Ἐπείπερ ἡμῶν τοῖς ἀτέχνοις πρὶν στίχοις
τριπλῆν τελεῖν εἴρηκα τὴν κωμῳδίαν,
πρώτην ὁμοῦ μέσην τε καὶ τὴν ὑστέραν,
ἔφην δὲ καὶ γνώρισμα τῶν τριῶν τότε,
οὐκ ἀκριβῶς ἔφην δὲ πᾶν μέχρι τέλους·
τὰ νῦν φέρε γράψωμεν ἠκριβωμένως,
πόσα μέρη τε τυγχάνει κωμῳδίας,
καὶ παραβάσεως ὁπόσα τὰ μέρη,
τίνα δὲ ταῦτα, τεχνικῶς τε πῶς πρέπει
κωμῳδίας γράφειν τε καὶ τραγῳδίας.
μέρη μέν εἰσι τέσσαρα κωμῳδίας·
πρῶτον πρόλογος, τὸ μέχρι χοροῦ τῆς εἰσόδου·
τὸ τοῦ χοροῦ μέλος δὲ δεύτερον λέγω·
ἐπείσοδος τρίτον δέ· τί δὲ τυγχάνει;
λόγος μεταξὺ πλὴν μελῶν χοροῦ δύο·
τέταρτόν ἐστιν ἔξοδος· ταύτης μέρος
λόγος χοροῦ τις τῷ τέλει λελεγμένος.
τόσα μέρη μέν εἰσι τῆς κωμῳδίας.
ἑπτὰ δὲ παραβάσεώς εἰσι μέρη,
ἃ νῦν σαφῶς ἄκουε λεπτῷ τῷ λόγῳ·
ὁ κωμικὸς χορὸς μὲν ὀρχήστρας τόποις,
τὴν ἣν λογεῖον νῦν καλοῦμεν, ἡγμένος,
ὑποκριταῖς μὲν προσλαλῶν ἄλλοις μέτροις
σκηνὴν πρὸς αὐτὴν ἣν ὁρῶν κωμῳδίας·
αὐτῶν ἀπελθόντων δὲ πρὸς δῆμον βλέπει,
ὃ καὶ στροφὴν ἔσχηκε τὴν κλῆσιν φέρον·
ἐκ τετραμέτρων ἓξ τε καὶ δέκα στίχους,

Vs. 8 libri *καὶ τῆς παραβάσεως ὁπόσα δὲ τὰ μέρη.* — Vs. 12 *πρῶτον* delendum. Tum Par. *τὴν εἴσοδον.* — Vs. 22 Par. *ἥ . . γμένον.*

ἀναπαιστικοὺς δὲ τοῖς μέτροις, ἐφθέγγετο,
ἀντιστροφὴν δ᾽ ἔφασκεν, εἶτα δευτέρως
τοιῷδε μέτρῳ καὶ ποσῷ τόσων στίχων·
τοὺς δ᾽ αὖ στροφῆς λόγους τε σὺν ἀντιστρόφῳ
ἅπας παλαιός πως ἐπίρρημα λέγει.
ἡ πάροδος ὅλη χοροῦ δὲ παράβασις.
ἂν οὖν ἐπὶ θέατρον ἐκ πολισμάτων
ἐδείκνυ δῆθε τὴν ὁδὸν ποιούμενος,
ἀριστερᾶς ἔβαινεν ἁψῖδος τόπων·
εἰ δ᾽ ὡς ἀπ᾽ ἀγροῦ, δεξιᾶς διὰ τόπων,
ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ,
ὑποκριταῖς τὸ βλέμμα δεικνύων μόνοις·
ὧν ἐκδραμόντων ἑπτάκις ἐστραμμένος
χορὸς καθώρα πρὸς διπλῆν δήμου στάσιν·
τὸ δ᾽ ἑπτασυστρόβητον ὄρχημα τόδε
παράβασιν ἔσχε τῷ γένει τὴν κλῆσιν φέρειν·
ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους,
μακρὸν δὲ δὴ πνῖγός τε τὸ τρίτον πάλιν,
τέταρτον ᾠδὴ καὶ στροφὴ κλῆσιν φέρει·
τὸ πέμπτον αὖτέ τις ἐπίρρημα λέγει,
τὸ δ᾽ ἕκτον ἔσχε κλῆσιν ἀντῳδῆς φέρειν,
ἀντιστροφῆς ἅμα τε σὺν αὐτῇ λέγω.
τὸ δ᾽ ἕβδομόν τις ἀντεπίρρημα λέγει·
Τζέτζῃ δ᾽ ἀρεστὸν οὐδαμῶς ἐστι τόδε,
οὐδ᾽ αὖ τὸ πέμπτον, ἀλλά σοι ταῦτα λέγει·
τὰς πρακτικὰς μὲν συστροφὰς χοροῦ δύο
σκηνὴν πρὸς αὐτὴν πρός τε τὸν δῆμον νόει
στροφὰς καλεῖσθαι, σὺν δὲ μὴν ἀντιστρόφους, *)

Vs. 43 dele τήν.


